# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

# ΔΑΜΙΑΝΟΥ ΤΟΥ ΝΕΟΥ.

Η ΕΜΠΕΡΙΕΙΛΗΠΤΑΙ ΚΑΙ ΤΙΣ

Κανὼν Παρακλητικὸς πρὸς τὸν Τίμιον Πρόδρομον, ἐπὶ ἀσθενοῦντας, ἢ καὶ ἄλλως εἰς συμφορὰς καὶ περιπετείας τελοῦντας ψαλλόμενος.

Ποιηθεῖσα μὲν

ΠΑΡΑ ΤΟΥ ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ

## ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΕΠΙΛΕΓΟΜΕΝΟΥ ΠΑΠΑΔΟΠΟΥΛΟΥ.

Προτροπῇ δὲ τοῦ Πανοσιωτάτου Ἀρχιμανδρίτου τῆς Ἁγιωτάτης Μητροπόλεως Λαρίσης

ΚΥΡΙΟΥ ΙΑΚΩΒΟΥ.

Νῦν πρῶτον τύποις ἐκδοθεῖσα σπουδῇ καὶ φιλοτίμῳ δαπάνῃ Τοῦ Τιμιωτάτου Κυρίου

## ΒΗΣΣΑΡΙΩΝΟΣ Χ. ΓΕΩΡΓΙΟΥ

Ἀρτοπωλητοῦ τοῦ ἐκ Λαρίσης.

*Εἰς χρῆσιν τῶν τὴν τούτου μνήμην κατ' ἔτος τελούντων, καὶ τῶν ἄλλων Εὐσεβῶν, ὅσοι τιμᾶν τὸν Ἅγιον βούλονται.*

αωε'. ΕΝΕΤΙΗΣΙΝ. 1805.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

*Con Sovrana Approvazione.*

# ΤΩ ΠΑΝΟΣΙΩΤΑΤΩ, ΚΑΙ ΣΕΒΑΣΜΙΩ ΜΟΙ ΑΡΧΙΜΑΝΔΡΙΤΗ, ΚΥΡΙΩ, ΚΥΡΙΩ ΙΑΚΩΒΩ.

Τῷ κατὰ πνεῦμά μοι πατρὶ, τὴν ὀφειλομένην μετ' εὐλαβείας προσκύνησιν.

Πολλοῦ ἄξιον ( Σεβασμιώτατέ μοι Πάτερ ) πολλοῦ ἄξιον λέγω ἤθελε νομίζῃ, ἕνας ἀγνώμων φίλος, ἂν ἤθελε δύναται νὰ πράττῃ εἰς τοὺς φίλους του πάντοτε ὑπουργίας ἀξίας εἰς τὰ ὑποκείμενά των. ὅμως καὶ μὲ ὅλον ὁποῦ φρονῶ οὕτως, ἐγὼ δὲν ἐδυνήθην μέχρι τοῦδε, νὰ ἀποδώσω εἰς τὴν ὑμετέραν σεβασμιότητα τὸ τοιοῦτον χρέος μου. μὲ ὅλον τοῦτο, καλοκἀγαθίᾳ νικωμένη ἡ Πανοσιότης της, θέλει μὲ νομίζῃ ἀδύνατον μᾶλλον εἰς τοιαύτας ὑπουργίας τῶν φίλων, παρὰ ἀγνώμονα εἰς αὐτοὺς, καὶ ἀνάξιον. Ἐπειδὴ ἐπόθουν μὲν νὰ ὑπουργήσω τῇ ὑμετέρᾳ Πανοσιότητι, ἐφιλοτιμούμην δὲ, ὄχι μὲ τυχούσας, ἀλλὰ μὲ πρεπούσας καὶ κατ' ἀξίαν ὑπουργίας εἰς τὸ ὑποκείμενόν της νὰ δειχθῶ, ὁποία τις καὶ ἡ παροῦσα, ( ὡς ἂν ἔγωγε ὑπολάβοιμι ) ἡ ᾀσματικὴ λέγω ἅπασα ἀκολουθία, τοῦ ἐν Ἁγίοις Ὁσιομάρτυρος Δαμιανοῦ τοῦ Νέου. τὴν ὁποίαν καὶ νῦν προσφέρων ἀνατίθημι τῇ ὑμετέρᾳ σεβασμιότητι, ὡς τῷ σῷ ὑποκειμένῳ ἀξιώτερον αὐτή, πολλῷ μᾶλλον τῶν ἄλλων ὑπούργημα· ἐπειδὴ γινώσκω, ὅτι καὶ πρὸς τὸν Ἅγιον λίαν εὐλαβῶς διάκειται, καὶ μάλιστα πρὸ πολλοῦ τὴν τούτου Ἀκολουθίαν ἰδεῖν

εἰς φῶς ἐπεθύμει, ὡς καὶ τὴν αὐτῆς μετάνοιαν εἰς τὸ ἐκείνου Μονύδριον ἔχουσα. Ὅθεν ἀποδέχθη τι ἤδη τὸ πρὸ πολλοῦ σοι Πάτερ ποθούμενον, μεθ' οὗ, καί τινα Κανόνα πρὸς τὸν τίμιον Πρόδρομον παρακλητικὸν, ἐπὶ ἀσθενοῦντας, εἴτε ἄλλως ἐπηρεαζομένους· καὶ δι' ἐπιστασίας τῆς σῆς, ἐμῶν δὲ ἀναλωμάτων, σπουδάσαν τοῖς τύποις ἐκδοῦναι· ὅπως καὶ τῇ ὑμετέρᾳ Μονῇ, καὶ τοῖς ἄλλοις, ὅσοι εὐλαβῶς πρὸς τὸν Ἅγιον ἔχουσι, καὶ τὴν αὐτοῦ μνήμην ἑορτάζειν ἐτησίως ᾀσματικῶς βούλονται, εὐχερὴς εἴη. Αὐτὸς δὲ ἀμοιβὴν τοῦ πόνου σου, ἕξεις παρὰ Θεοῦ, διὰ πρεσβειῶν τοῦ Ἁγίου, ζωὴν αἰώνιον.

αωδ'. Σεπτεμβρίῳ.

Τῆς ὑμετέρας σεβασμιωτάτης μοι Πανοσιότητος
εὐτελὲς καὶ ἐλάχιστον τέκνον
Βησσαρίων Χ. Γεωργίου.

ΤΩ,



ΤΩ ΤΙΜΙΩΤΑΤΩ, ΚΑΙ ΧΡΗΣΙΜΩΤΑΤΩ ΚΥΡΙΩ

## ΒΥΣΣΑΡΙΩΝΙ Χ. ΓΕΩΡΓΙΟΥ.

Τῷ κατὰ πνεῦμά μοι τέκνῳ περιποθήτῳ, ὑγείαν παρὰ Θεοῦ κατ' ἄμφω, καὶ εὐδαιμονίαν σωτήριον.

Εἰ διὰ μακροῦ πρὸς φίλους προσφερόμεναι ὑπουργίαι σου φίλτατε, Βησσαρίων, ἐν μὲν τῷ μεταξὺ χρόνῳ, διὰ τὴν αὐτῶν ἔλλειψιν ἴσως, λήθης ὑπόνοιαν παρέχειν πως τοῖς φίλοις ἐοίκασι, διὰ δὲ τὴν πρὸς ταύτας σπουδήν σου, εὐκαίρως φαινόμεναι τούτοις, τῶν καθ' ἑκάστην ὁποσοῦν πραττομένων φιλοτιμότεραι δεικνύμεναι, θερμότερον τοῖς ποθοῦσι, καὶ ἀσυγκρίτως ἥδιον τὸ φίλτρον ἐνστάζουσιν. οἷόν τι κἀμοὶ ἄρτι παθεῖν συμβέβηκε, τυχεῖν ἐκ τῶν τύπων ἀξιωθέντι, διὰ τῆς ὑμετέρας φιλοτίμου ἐπιμελείας τε, καὶ ἁδρᾶς δαπάνης, τοῦ πάλαι μοι ποθουμένου. λέγω δηλαδὴ, τὴν τοῦ ἐν Ὁσιομάρτυσι Δαμιανοῦ τοῦ Νέου, τοῦ καὶ Κτίτορος τῆς ἡμετέρας Σεβασμίας Μονῆς τοῦ τιμίου Προδρόμου, τῆς κατὰ τὸν Κίσσοβον, ᾀσματικὴν Ἀκολουθίαν, μεθ' ἧς καὶ τὸν παρακλητικὸν Κανόνα τοῦ τιμίου Προδρόμου, ἧς τινος ἀκολουθίας, οἵ,τε ἐν τῇ αὐτῇ Μονῇ Πατέρες, καὶ οἱ ἄλλοι τῶν εὐσεβῶν ὑστερούμενοι, καὶ τῆς τοῦ Ἁγίου μνήμης ἐτησίως ἐφισταμένης, μὴ ἔχοντες κατὰ τὸ εἰκὸς τιμᾶν αὐτὸν, λίαν ἐπὶ τούτῳ ἠθύμουν τε, καὶ ἤχαλλον. μεγίστην οὖν σοι τὴν χάριν καὶ οὗτοι οἴδασι, καὶ οἱ ἐπιγενόμενοι αἰωνίως σοι εἴσονται βέλτι-

τι-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΝΑΓΙΩΤ…

τιςε. παρὰ Θεοῦ δὲ εὖ σοι γένοιτο, τῆς πρὸς ἡμᾶς χάριτος, καὶ ὁ μισθὸς τῆς πρὸς τὸν Ἅγιον εἰλικρινοῦς εὐλαβείας, καὶ δωρεᾶς σου, ἐν τῇ τῶν ἔργων μελλούσῃ ἀντιδόσει, διὰ τῶν αὐτοῦ πρεσβειῶν πληρέστατος τιμιώτατε. ἔῤῥωσο.

ᾳωδ΄. Ὀκτώμ.

Τῆς ὑμετέρας τιμιότητος, εὐχέτης πρὸς Θεὸν διάπυρος, ὁ ἐλάχιστος ἐν Ἱερομονάχοις Ἰάκωβος.





# ΦΕΥΡΟΥΑΡΙΟΥ, ΙΔ΄.

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

# ΔΑΜΙΑΝΟΥ ΤΟΥ ΝΕΟΥ.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ,

(Εἰ οὐκ ἔστι τεσσαρακοστή) ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια, δευτεροῦντες τὸ α΄.

Ἦχος, α΄. Τῶν οὐρανίων ταγμάτων.

Δαμιανοῦ ἡ σεβάσμιος, μνήμη πάρεστι, τῶν ἀσεβῶν τὰ στίφη, συγκαλοῦσα πρὸς δόξαν, καὶ αἴνεσιν Κυρίου, θεοτερπῆ, πνευματικὴν εὐφροσύνην τε, δεῦτε οὖν τοῦτον γεραίροντες οἱ πιστοί, μεγαλύνωμεν τὸν Κύριον.

Ἰδοὺ λαμπρὰ πανδαισία, φαιδρὰ πανήγυρις, καὶ φαεινὴ ἡμέρα, πρὸς ἑστίασιν πάντας, εὐφρόσυνον ἀθροίζουσα τοὺς πιστούς, Δαμιανοῦ γὰρ ἡ ἄθλησις. δεῦτε οὖν δράμωμεν ἅπαντες, ἐν ᾠδαῖς, μεγαλύνοντες τὸν Κύριον.

Πρὸς ὑπαντὴν εὐτρεπίζου, ἡ ἐν Κισσόβῳ Μονή, Δαμιανὸς γὰρ αἴγλαις, τοῦ σεπτοῦ μαρτυρίου,

ἐπέστη σε ἀστράπτων, καὶ τοὺς αὐτοῦ, ἐκτελοῦντας τὴν ἄθλησιν, καταγλαΐζων ταῖς χάρισι θαυμαστῶς, καὶ δεινῶν αὐτοὺς λυτρούμενος.

Δόξα, ἦχος, α'.

Τῶν μοναστῶν ἡ καλλονή, τὸ ἀρτιφανὲς τῶν Μαρτύρων ἀγλάϊσμα, Δαμιανὸς ὁ Ὁσιομάρτυς σήμερον συγκαλεῖται ἡμᾶς, εἰς πνευματικὴν ἑστίασιν, τῶν ἱερῶν αὐτοῦ ἀγώνων. δεῦτε οὖν φιλέορτοι ἐν ᾠδαῖς ἀσμάτων συνελθόντες αὐτὸν εὐφημήσωμεν. πρεσβεύει γὰρ τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῇ πρεσβείᾳ Κύριε.

Ἀποστ. ἦχος, β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Πάρεστιν ἡ σεπτή, μνήμη τοῦ ἀθλοφόρου, Ὁσίων ταῖς ἀκτῖσι, καὶ ἀθλητῶν ταῖς αἴγλαις, ἡμᾶς καταγλαΐζουσα.

Στ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Δεῦτε τῶν Θετταλῶν, τὰ στίφη, καὶ Λαρίσσης, συνδράμετε προθύμως, εἰς ὄρος τὸ Κισσόβου, Δαμιανὸς προτρέπεται.

Στ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Ἅπαντες οἱ λαοί, Δαμιανοῦ ὁ οἶκος, ἐξάρχων τῆς χορείας, ἀγάλλεσθε συσκιρτᾶτε, ἐν σάλπιγξιν ἤχοις, φαιδρῶς πανηγυρίζοντες.

Δόξα, ἦχος, β'.

Ἡ Λάρισσα Εὐφράνθητι σήμερον, ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ, Δαμιανοῦ τοῦ νέου Ὁσιομάρτυρος, μελῳδικῶς αὐτὸν γεραίρουσα. Ἐκ σοῦ γὰρ ὡς ἀστὴρ ὄντως ἀνέτειλε, καὶ τῶν πιστῶν ἐφώτισε τοῖς θεηγόροις αὐτοῦ διδάγμασι· καὶ βόησον πρὸς αὐτόν, Ὁσιομάρτυς Δαμιανέ, στρατιῶτα Χριστοῦ ἀήττητε, παρρησίαν ἔχων πρὸς Θεόν, ἐκτενῶς ἱκέτευε ὑπὲρ

τῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου. νῦν ἀπολύεις· τὸ Τροπάριον, καὶ ἀπόλυσις.

Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ, εἰ μὲν φθάσει ἡ μνήμη τοῦ Ἁγίου ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ· ψάλλεται ἡ ἀκολουθία τοῦ Ἁγίου κατὰ τὸν τύπον τῶν Ἁγίων τεσσαράκοντα Μαρτύρων, ὃν, εἰς τὰς θ'. τοῦ Μαρτίου ζήτει.

Εἰ δὲ τύχει ἔξω τῆς ἁγίας τεσσαρ. εἰς τὸ λυχνικόν, μετὰ τὸν προοιμιακόν, τὸ α'. ἀντίφωνον, Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε, ἐκέκραξα ἱστῶμεν στ. η'. καὶ ψάλλομεν προσόμοια ἦχος, β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε φιλομάρτυρες φαιδρῶς, τῷ ἐν Ἀσκητῶν ὁμηγύρει, λαμπρῶς ἐκλάμψαντι, Μάρτυρι προσέλθωμεν, ὕμνοις γεραίροντες, ἑκατέρως παλαίσματα, αὐτοῦ τὰ γενναῖα, χαίρων ἃ διήνυσε, καταβαλὼν τὸν ἐχθρόν, Δέσποτα βοῶντες πρεσβείαις, τούτου τῶν πταισμάτων παράσχου, ἄφεσιν τοῖς δούλοις σου ὡς εὔσπλαγχνος.

Ὅτε σὺ ἐτρώθης τὴν ψυχήν, ἔρωτι τῆς θείας ἀγάπης, Ἄθω τὸ ὄρος σπουδῇ, ὥσπερ τις διψήσασα, ἀθλητὰ ἔλαφος, τὰς πηγὰς προκατέλαβες, ἐν ᾧ τοὺς ἀγῶνας, πάσης διελήλυθας, Δαμιανὲ ἀρετῆς, τούτων εἰς ἀκρώρειαν φθάσας, τῶν μνημονευόντων σου μάκαρ, μέμνησο πρὸς Κύριον δεόμενος.

Ὅτε σὺ καθεῖλες τοῦ ἐχθροῦ, πάσας τὰς ἐπάρσεις ἀσκήσει, καταπαλαίσας αὐτόν, τότε καὶ πρὸς ἄθλησιν, οὐδαμῶς ἔδεισας, ἀθλητὰ γενναιότατε, τοῖς ταύτης δὲ ἄθλοις, σπεύδων προσεχώρησας, Δαμιανὲ καρτερῶς, τρόπαια κατ' ἄμφω ἐ-

 γεί-

γέρας, σέβος ἐκόμισω ἀσκήσει, ἅμα, καὶ ἀθλήσει διπλοῦν ἄφθαρτον.

Ἕτερα προσόμοια, ἦχος, πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅλως τῷ φρονήματι, σοῦ τῆς σαρκὸς ἀπετάξω, πᾶσαν βδελυξάμενος, ὕλην κάτω ῥέουσαν παναοίδιμε. καὶ θερμὴν ἔφεσιν, ἐναρέτου βίου, ἐν Χριστῷ ἀναλαβόμενος, τούτῳ συνετέταξαι, Κόσμον, καὶ γονεῖς ἀπωσάμενος. οὗ τὴν ὀπίσω ἀπόδων τε, εὐαγγελικῶς ὁδὸν ἰθύσας, μάκαρ ἐν ἀσκήσει, σκληρᾷ, καὶ ἐν ἀθλήσει καρτερῶς, τῆς ἀκηράτου μεθέξεως, ὄντως κατηξίωσαι.

Σεμνύνεται Ῥίχοβον, ἐν τῇ γεννήσει σου Πάτερ, Ἑλλὰς μεγαλύνεται, Ὄρος ἁγιώνυμον, τὸ τοῦ Ἄθωνος, ἐν τῇ σῇ τέρπεται, πολιτείᾳ χαῖρον, ἐν αὐτῷ ἐξηκρίβωσω γάρ, ταύτης τὴν ἄσκησιν, πάθη χαλινῶν χαλεπώτατα. δι' οὓς ἀγῶνας ἔτλης δὲ, σὺ ἀθλητικῶς καὶ ἡ Λάρισα, μᾶλλον σοι κομπάζει, ἡ ἐν Κισσόβῳ τε Μονὴ, Δαμιανὲ εὐφημοῦντές σε, πρέσβυν προβαλλόμεθα.

Ὤφθης καταγώγιον, τῆς τριφαοῦς αἴγλης Πάτερ, σάρκα βιασάμενος. εἰς τὸ καθ' ὁμοίωσιν, ἀνελήλυθας, καὶ λαμπρὸν ἔσοπτρον, ἀγγελικοῦ βίου, ἐπὶ γῆς φανεὶς ὡς ἄσαρκος, πόνοις ἀσκήσεως, πᾶσαν τὴν Ἑλλάδα καταύγασας, ἐλθεῖν πρὸς τὴν μετάνοιαν, πείθων ἀστραπαῖς σοῦ κηρύγματος, πολυτρόπως ταύτην. τῶν εὐφημούντων σε ἡμῶν, τὴν σὴν σεπτὴν μνήμην πάρεσο, τὰς ψυχὰς, καὶ φώτισον.

Δόξα, ἦχος, πλ. β΄.

Δεῦτε φιλεόρτων τὸ σύστημα, τὸν ἐκ Μυριχόβου ἐκλάμψαντα φαεινότατον φωστῆρα, Δαμιανὸν





τὸν νέον Ὁσιομάρτυρα, ᾄσμασιν ἐνθέοις, συνελθόντες εὐφημήσωμεν λέγοντες, χαίροις ὁ τοῖς φωτοβόλοις σου διδάγμασιν, ὡς βολαῖς ἡλιακαῖς, τὰς ἐκτακείσας τῇ ψυχῇ τῆς ἁμαρτίας τῶν πιστῶν καρδίας, ἀναζωπυρήσας πρὸς μετάνοιαν. Χαίροις ὁ τὴν πρὸς δύσιν δι' Ἑλλάδος ποιούμενος πορείαν σου, τὸ ἐν αὐτῇ λύσας σκότος τῆς δεινῆς κακεξίας. Χαίροις ὁ ὑπὲρ Χριστοῦ στεῤῥῶς ἀγωνισάμενος, καὶ τῆς πλάνης ἀνδρείως καταβαλὼν τὸ φρύαγμα. Χαίροις ὁ ὡς δύσει δύνας ἐν Λαρίσσῃ, καὶ ἀθλητικῶς χωρήσας πρὸς τὸν ποθούμενον. μαρτύρων ἀγλάϊσμα, Ὁσίων τὸ καύχημα, μὴ παύσῃ ἐκεῖθεν ἐποπτεύων ἡμᾶς, καὶ ταῖς σαῖς ἱκεσίαις, πρυτανεύων ἡμῖν δυσχερῶν ἀπαλλαγὴν, καὶ μέγα ἔλεος.

Καὶ νῦν.

Τίς μὴ μακαρίσῃ σε. Εἴσοδος. Τὸ Φῶς ἱλαρόν.

Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. μγ΄. 9. Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες· καὶ ἐγὼ Μάρτυς, Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε, καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα. ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ

οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ
τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ
λυτρούμενος ὑμᾶς ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. ε΄. 16. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ
μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ
Ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐ-
πρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυ-
ρίου. ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι
ὑπερασπιεῖ αὐτῶν. λήψεται πανοπλίαν τὸν ζῆλον
αὐτοῦ. καὶ ὁπλοποιήσει τὴν Κτίσιν εἰς ἄμυναν ἐχ-
θρῶν. ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσε-
ται κόρυθα κρίσιν ἀνυπόκριτον. λήψεται ἀσπίδα
ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν
εἰς ῥομφαίαν. συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ
τοὺς παράφρονας. πορεύσονται εὔστοχοι βολίδες ἀ-
στραπῶν. καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ
σκοπὸν ἁλοῦνται. καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις
ῥιφήσονται χάλαζαι. ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ
θαλάσσης. ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. ἀν-
τιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ
ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνο-
μία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυνα-
Κεφ. στῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ συνέτε, μά-
ϛ΄. 1. θετε δικασταὶ περάτων γῆς. ἐνωτίσασθε οἱ
κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις
ἐθνῶν. ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ
ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅ-
ψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλ-
μοῖς



μοῖς ἀφρόνων τεθνάναι. καὶ ἐλογίσθη κάκωσις ἡ ἔ-
ξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία, σύντριμμα. οἱ
δὲ εἰσὶν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κο-
λασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. καὶ ὀ-
λίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅ-
τι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους
ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐ-
τούς. καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.
καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς
σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. κρινοῦσιν ἔθνη,
καὶ κρατήσουσι Λαῶν. καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς
τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν
ἀλήθειαν. καὶ οἱ Πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ.
ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ
ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν λιτὴν ἰδιόμελα

### Ἦχος, α΄.

Τῶν μοναστῶν ἡ καλλονή, τὸ ἀρτιφανὲς τῶν ἀ-
θλητῶν ἀγλάϊσμα, Δαμιανὸς ὁ Ὁσιομάρτυς,
σήμερον συγκαλεῖται ἡμᾶς, εἰς πνευματικὴν ἑστία-
σιν τῶν ἱερῶν αὐτοῦ ἀγώνων. δεῦτε οὖν φιλέορτοι ἐν
ᾠδαῖς ᾀσμάτων συνελθόντες αὐτὸν εὐφημήσωμεν.
πρεσβεύει γὰρ τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ξύλον πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ὡς τὸ
παρὰ τὰς διεξόδους τῶν ὑδάτων ψαλμικῶς ἀνε-
δείχθης πανεύφημε· ὃς ἐπὶ μετανοίᾳ ἐπαλείφων
τοὺς ἀθεμιστέρους, καὶ τοὺς πιστοὺς πρὸς ἀρετὴν τῇ τῶν
λόγων σου πειθῶν χάριτι, καὶ τὰς αὐτῶν ψυχὰς τῆς
θεογνωσίας ἄρδων τοῖς νάμασι, τὸν καρπόν σου ἐν
τῷ καιρῷ αὐτοῦ, Χριστῷ τῷ γεωργῷ ἑκατοστεύοντα
δέδωκας· ὑπὲρ οὗ καὶ ἀθλήσας καρτερῶς, καὶ γέρας
τὴν

τὴν ὑπὲρ νοῦν μακαριότητα κομισάμενος, ἐν τοῖς ἔργοις σου εὐοδῶσαι εἰς οὐρανίους καταπαύσας σκηνώσεις. μετὰ μαρτύρων οὖν αὐλιζόμενος, καὶ παῤῥησίαν πρὸς αὐτὸν κεκτημένος, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀκούσας τοῦ Κυρίου λέγοντος, ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ, ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν, σπεύδων πρὸς ἀγῶνας Δαμιανὲ Ὁσιομάρτυς ἀνδρείως ἐχώρησας· καὶ ἐγκρατείᾳ, καὶ σκληραγωγίᾳ, καὶ παννύχοις στάσεσι, καὶ δακρύων ὀχετοῖς τὴν σάρκα δαμάσας, καὶ τὸ ταύτης νεκρώσας φρόνημα, τῆς ἐν Χριστῷ ζωῆς κατηξίωσαι τὴν ψυχὴν καθηράμενος. καὶ Κόσμῳ νεκρὸς γενόμενος, ζῶν δὲ τῷ Χριστῷ, τὸν δι' ἀγχόνης, καὶ πυρὸς ὑπὲρ αὐτοῦ γενναίως ὑπήνεγκας θάνατον. καὶ νῦν ἐν οὐρανοῖς περὶ αὐτὸν χαρμοσύνως πολεύων, πρέσβευε ἐκτενῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἦχος, β.

Τὴν ἐν Χριστῷ πτωχείαν ποθήσας ἐκ νεότητος, τοῦ δι' ἡμᾶς πτωχεύσαντος ὀπίσω ᾑρετίσω πορεύεσθαι, καὶ πάσας τὰς ἐντολὰς αὐτοῦ πληρώσας Ὅσιε, θείαις δωρεαῖς τὴν ψυχὴν κατεπλούτησας. καὶ τὴν πρὸς αὐτὸν πορείαν μαρτυρικῶς ἀνύσας ἀξιάγαστε, ὄλβον σεαυτῷ ἀκήρατον, ἑκατέρωθεν ἤθροισας, εἰς διαμένουσαν εὔκλειαν, Ὁσίων, καὶ μαρτύρων ἐφάμιλλος γενόμενος, Δαμιανὲ παμμακάριστε. Τούτῳ οὖν διηνθισμένος ταῖς ἀρεταῖς, καὶ τοῦ μαρτυρίου λελαμπρυσμένος παρεστὼς τοῖς κάλλεσι, καὶ ταῖς ἐκεῖθεν αἴγλαις καταστραπτόμενος, καὶ ἡμῶν τὰς διανοίας καταύγασον, ταῖς σαῖς ἱκεσίαις πανεύφημε, αἰτούμενος ἡμῖν ἁμαρτιῶν τὴν ἄφεσιν, καὶ τὸ μέγα ἔλεος.

Δό-



Δόξα. Ἦχος, πλ. α.

Δεῦτε τὰ τῶν ὀρθοδόξων στίφη, πανταχόθεν συνελθόντες σήμερον, καὶ πάνδημον ἑορτὴν συγκροτήσαντες, καὶ φαιδρὰν πανήγυριν στησάμενοι, τὸν ἐν ὁσίοις στεῤῥόν, καὶ ἀκαταμάχητον ἐν μάρτυσι, Δαμιανὸν τὸν ἀοίδιμον συμφώνως ἀνευφημήσωμεν· καὶ μύριπνοα ἄνθη ὡς λειμῶνος εὐανθοῦς, ἀπὸ τῶν σεπτῶν αὐτοῦ ἀγώνων προθύμως δρεψάμενοι, καὶ στέφανον ἐγκωμίων πλέξαντες, πάντες ὁμοῦ ταῖς εὐφημίαις αὐτὸν καταστέψωμεν. Οἱ ἐν ἀσκήσει, τὸν τῆς ἀσκήσεως κανόνα ἀκριβέστατον. Οἱ μονασταὶ τὸ τοῦ μονήρους βίου, θεῖον ὄντως σεμνολόγημα. Οἱ ἐρημῖται τὸν πολιστὴν τῆς ἐρήμου. Οἱ ἐν κώμαις, καὶ χώραις τὸν κήρυκα τῆς μετανοίας τὸν πραότατον. Οἱ ἐν Ἑλλάδι, τὸν ἐκ Μυριχόβου φωστῆρα τὸν λαμπρότατον· τὸν τὰς ὁμόρους πάσας καταυγάσαντα, καὶ ταύτην ἅπασαν σεμνύναντα· οἱ ἐν Λαρίσῃ, τὸ κλέος τὸ ἐπίδοξον, ὡς ἐν τῇ σεπτῇ αὐτοῦ ἀθλήσει, διαφερόντως ταύτην τετιμηκότα· οἱ ἐν Κισσόβῳ, τὸ καύχημα τῆς εὐκλείας τὸ σεμνότατον· οἱ ἐν τῇ τούτου Μονῇ, Πατέρα, καὶ προστάτην τὸν φιλόστοργον, καὶ ἄγρυπνον· οἱ πάντες, τὸν πᾶσι κοινὸν εὐεργέτην καθυπάρξαντα τοῖς θείοις αὐτοῦ διδάγμασι, καὶ οὕτω βοήσωμεν. Ὁσίων τὸ καύχημα, Μαρτύρων ἀγλάϊσμα. Ὁσιομάρτυς πανεύφημε, γενοῦ καὶ νῦν μεθ' ἡμῶν, τῶν εὐλαβῶς εὐφημούντων σε Ἅγιε, πάσης ἀνάγκης, καὶ δεινῆς περιστάσεως ἡμᾶς ῥυόμενος, καὶ ταῖς σαῖς ἱκεσίαις πρεσβεύων ἡμῖν ἁμαρτιῶν τὴν ἄφεσιν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Μα-

Μακαρίζομέν σε Θεοτόκε.

Ἀπόστιχα. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶς ἀληθῶς.

Χαίροις ἡ ἐν Κισσόβῳ Μονή, Δαμιανοῦ τὸ ἱερὸν ἐνδιαίτημα, δευτέρα καὶ Θετταλία, καὶ ἡ Ἑλλὰς σὺν αὐτῇ, ἀσεβῶν Λαρίσσης τὰ πληρώματα, φαιδρῶς ἑορτάζοντες, τοῦ Ὁσίου, καὶ Μάρτυρος, τὴν σεπτὴν μνήμην, ἐν ᾠδαῖς εὐφημήσατε, καὶ ἐν πνεύματι, ὁμοῦ πάντες σκιρτήσατε. πάρεστιν οἷα πρόμαχος, ὑμῶν προτιθέμενος, πᾶσιν ἀφθόνως κρατῆρα, πνευματικῆς γὰρ καὶ τράπεζαν, αὐτοῦ τῶν ἀγώνων, εὐφροσύνης, χάριν νέμων ἡμῖν καὶ ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις.

Χαίροις Ὁσιομάρτυς Χριστοῦ, ὁ ταῖς ἀκτῖσιν ἐλλαμφθεὶς ἐκ νεότητος, τῆς θείας τρισφαοῦς αἴγλης, καὶ ἐντολὰς τὰς αὐτοῦ, πορευθεὶς καὶ νόμῳ οὗ χρησάμενος, φωτὶ ἐν ταῖς τρίβοις σου, καὶ ποσί σου ὡς λύχνον δέ, ψαλμικῶς τοῦτον, ἔχων ὡς ἐξεκέκαυσο, τὴν καρδίαν σου, τοῦ θεῖον πρὸς ἔρωτα. Τούτῳ ποθῶν συνεῖναι οὖν, δεινὰ κατεδαμάσας, πάθη σαρκὸς ἐν ἀσκήσει, διὰ πυρός τε, καὶ ὕδατος, ἐλθὼν ἀνεδείχθης, στερρὸς μάρτυς· τὰς ψυχὰς οὖν, ἡμῶν καταύγασον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Χαίροις Ὁσιομάρτυς Χριστοῦ, ὡς ἀληθῶς γὰρ ζηλωτὴς ἐχρημάτισας, ἐν πᾶσι, καὶ ἐκμαγεῖον, ἐν γεννητοῖς γυναικῶν, τοῦ σεπτοῦ Προδρόμου ὄντως μείζονος, ζηλῶν γὰρ ἐζήλωσας, οὗ τὸν βίον πανεύφημε, καὶ ὑπομένων, χαλεπὰς καθυπήνεγκας, θλίψεις, μάστιγας, εἱρκτήν, πέδας, ἀγχόνην τε, ὕβρεις τε καὶ τὸν θάνατον, πυρὸς οὐκ ἐναρκήσας, πάντας διδάσκων βιῶναι, ὥσπερ ἐκεῖνος ἐκήρυττε.

διὰ



διὸ δυσωποῦμεν, μετανοίας εὑρεῖν χάριν, καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τὸν στερρὸν ἀδάμαντα τῆς καρτερίας οἱ πιστοί, τὸν ἐν ἀσκήσει φέριστον, καὶ ἐν μάρτυσι κράτιστον, τὸν γενναῖον ἀθλητήν, τὸν κατ᾽ ἄμφω λαμπρῶς διαπρέψαντα ὁπλίτην, τὸν ἑκατέρωθεν μέγα παρὰ Χριστοῦ τὸ κλέος ἄραντα, Δαμιανὸν τὸν ἀήττητον μελῳδικῶς ἀνευφημήσωμεν· τὸ Μυρίχοβον, τὸ εὐκλεὲς οἰκεῖον βλάστημα· τὸ τῆς ἀσκήσεως κάλλιστον θρέμμα, τὸ Ἁγιώνυμον Ὄρος. Ἑλλάς, καὶ Θετταλία τὸν διαπρύσιον τῆς μετανοίας κήρυκα. Κίσσοβος τὸν αὐτοῦ θερμὸν προστάτην, καὶ πολιοῦχον· ἡ Λάρισσα, τὸ τῶν ἑαυτῆς μαρτύρων θεῖον ἀκροθίνιον, καὶ καύχημα. Ἐν ᾗ ἀνδρείως ὑπὲρ Χριστοῦ ἀθλήσας, καὶ τὴν πλάνην τῶν δυσσεβῶν ἀπελέγξας, εἰς οὐρανοὺς ἀνελήλυθεν, καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνων ἀμέσως Χριστῷ, αἰτεῖται ἡμῖν παραπτωμάτων ἄφεσιν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Πρόσδεξαι Δέσποινα.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Εὐφράνθητι σήμερον, ἡ ἐν Κισσόβῳ Μονή, καὶ Λάρισσα σκίρτησον, Δαμιανοῦ ἡ σεπτὴ πανήγυρις πάρεστι. δεῦτε οὖν καὶ συμφώνως, ἐν αὐτῇ τῷ σωτῆρι, ᾄσωμεν ἐν αἰνέσει, τοῦτον ἀνευφημοῦντες, αὐτοῦ ταῖς ἱκεσίαις, ὅπως σωζώμεθα.

Δόξα, καὶ νῦν. Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφ. Καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν α΄. στιχολογίαν. Κάθισμα. Ἦχος πλ. δ΄.

Τὴν Σοφίαν, καὶ Λόγον.

Τῷ τῆς χάριτος λόγῳ, τὰς τῶν πιστῶν, ἐπαλεί-

C φων

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑ

φων καρδίας πρὸς ἀρετήν, εἰς ἄθλησιν ἐσπούδασας, καὶ τὸν τύραννον ὤλεσας, καρτερῶς τὸν δρόμον, ἀνύσας ἀσκήσεως, καὶ στερρῶς ἀθλήσας, ἐδέξω τὸν στέφανον, ὅθεν συνελθόντες, τὴν ἁγίαν σου μνήμην, φαιδρῶς ἑορτάζομεν, τὸν Σωτῆρα γεραίροντες, Δαμιανὲ πανένδοξε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δίς. Θεοτοκίον.

Ὡς παρθένον, καὶ μόνην ἐν γυναιξί, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, πᾶσαι μακαρίζομεν, γενεαὶ τῶν ἀνθρώπων. τὸ γὰρ πῦρ ἐσκήνωσεν ἐν σοὶ τῆς θεότητος, καὶ ὡς βρέφος θηλάζεις, τὸν Ποιητὴν τῆς Κτίσεως· ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων αἱ τάξεις, εἰκότως γεραίρομεν, τὸν πανάγιον τόκον σου, καὶ συμφώνως δοξάζομεν· πρέσβευε τῷ σῷ Υἱῷ, καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς Θεοτόκον ἐν πίστει, σὲ κηρύττουσιν Ἄχραντε.

Εἰς τὴν β΄. στιχολ. ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐρήμους κατῴκησας, Δαμιανὲ ἀρετήν, ἀσκῶν ἐκ νεότητος, σκληραγωγίᾳ πολλῇ. στέψας δὲ παρατάξεις, δυσμενῶν ἀοράτων, ἄνωθεν φωνῆς θείας ἠξιώθης πολύτλα, καὶ Μάρτυς ὤφθης, διό σε πόθῳ γεραίρομεν.

Δόξα. ἦχος γ΄. Θείας Πίστεως Ὁμολογία.

Στήλη ἔμψυχος, τῆς ἐγκρατείας, πλοῦτος ἄσυλος τῆς εὐσεβείας, ἀνεδείχθης Δαμιανὲ πανάοιδιμε, ἐν ἀπαθείᾳ φαιδρύνας τὸν βίον σου, ὑπὲρ Χριστοῦ τε ἐνέγκας τὴν ἄθλησιν, στερρῶς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ



Καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ χοῦν γενόμενον, ἐρρυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβειῶν σου ἐν θέοις νάμασι, παρέχουσα Ἁγνὴ τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλ. ἦχος πλ. δ΄.

Τὴν Σοφίαν, καὶ Λόγον.

Φερωνύμως δαμάσας πάθη σαρκὸς, τὸν ἀλάστορα ὅπλῳ τῷ τοῦ Σταυροῦ, βαλὼν Πάτερ ὤλεσας, καὶ Χριστῷ ἐφεπόμενος, τῶν μοναστῶν τὰς χορείας, ἐν πράξεσιν εὔφρανας, καὶ Ὁσίοις ἐν δόξῃ, ἐδείχθης ἐφάμιλλος. ὅθεν καὶ Μαρτύρων, ὑπελθὼν τοὺς ἀγῶνας, γενναίως ἐνήθλησας, καὶ νομίμως ἠρίστευσας, Δαμιανὲ πανένδοξε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐφημοῦσιν ἐκ πόθου τὰ σεπτά σου μνημόσυνα.

Δίς. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὶς ἁλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε, χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα, χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε, χαῖρε μόνη ψυχῆς μου διάσωσμα.

Τὰ ἀντιφ. τοῦ δ΄. ἤχου. Προκείμ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ.



Πᾶσα

Πᾶσα πνοή. Εὐαγγέλ. ζήτει εἰς Ὁσιομάρτυρα. Εἶτα ὁ Ν΄. Δόξα ταῖς τοῦ Ἀθλοφ. καὶ νῦν Ταῖς τῆς Θεοτόκου.

Ἐλέησόν με ὁ Θεός. τὸ ἰδιόμελον ἦχος πλ. β΄.

Τὸν παραταξάμενον ἀνδρείως κατὰ τοῦ Βελίαρ, καὶ τὰς τούτου γενναίως φάλαγγας τρέψαντα, καὶ πᾶσαν τὴν ἰσχὺν αὐτοῦ τοῖς ποσὶ συντρίψαντα, Δαμιανὸν τὸν ἀήττητον μάρτυρα, μελωδικῶς οἱ πιστοὶ εὐφημήσωμεν. ἀντέστη γὰρ τῷ τυράννῳ, καὶ τὰς τούτου θωπείας ἐξουθενήσας, καὶ τὸ ἀπηνὲς αὐτοῦ, καὶ ἀπάνθρωπον μηδ᾽ ὅλως δείσας, ἀλλὰ τὸν Χριστὸν, παρρησίᾳ Θεὸν ἀληθινὸν τρανῶς κηρύξας, τὸν ὑπὲρ αὐτοῦ θάνατον χαίρων ὑπήνεγκε. Διὸ καὶ μετὰ μαρτύρων ἐν οὐρανοῖς χορεύει ἀγαλλόμενος, πρεσβεύων ἀδιαλείπτως, ὑπὲρ τῶν πιστῶς ἐκτελούντων, τὴν πανσεβάσμιον μνήμην αὐτοῦ.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Ἐλέει, καὶ οἰκτιρμοῖς. Εἶτα οἱ Κανόνες. τῆς Θεοτόκου, μετὰ τῶν εἱρμῶν εἰς ς΄. καὶ τοῦ Ἁγίου δύω, εἰς η΄. ὁ Κανὼν τῆς Θεοτόκου, ἦχος, α. ᾠδὴ α΄. ὁ Εἱρμός. κατὰ α β.

Σοῦ ἡ τροπαιοῦχος δεξιὰ θεοπρεπῶς, ἐν ἰσχύϊ δεδόξασται. αὕτη γὰρ ἀθάνατε ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Θεοτοκίον.

Ἄπειρος ἡ χάρις σου ἁγνὴ, ἡ πρὸς ἡμᾶς, καὶ ἡ δόξα σου ἄρρητος, ὄντως, καὶ ἐξαίσιος, καὶ κατ᾽ ἀξίαν ὡς θνητοῖς ἀνέφικτον, ἀνυμνολογεῖν σου, τὰ ὑπὲρ ἔννοιαν θαύματα.

Βάτον ἀκατάφλεκτον πυρὶ, σὲ Μωϋσῆς τυπικῶς ἐθεάσατο, ὅθεν δυσωποῦμέν σε, τῶν πειρασ-



ρασμῶν τοὺς καθ᾽ ἡμῶν πανάμωμε, φλογμοὺς κατασβέσαι, τῷ δροσισμῷ τῶν χαρίτων σου.

Ιερίος ἐκ φθορᾶς τῆς ἐξ ἀρᾶς, τὸν χοϊκὸν ὡς τεκοῦσα ἀπήλλαξας, Ἄχραντε τὴν πάροχον, τῆς αἰωνίου εὐλογίας, λύτρωσαι, τὴν σὲ ἀνυμνοῦσαν, φθοροποιῶν παθῶν ποίμνην σου.

Κανὼν τοῦ ἁγίου ἦχος, δ΄.

οὗ ἡ ἀκροστ. ὕμνον νέον Μάρτυρι τῷ νέῳ φέρω, Διονύσιος.

Ἀνοίξω τὸ στόμα μου.

Ὑμνεῖν σου τὴν ἄθλησιν, τὴν ἱερὰν, καὶ τὰ σκάμματα, τὰ θεῖα ποθοῦντά με, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, ἃ διήνυσας, λαμπρῶς καταπαλαίσας, τῆς πλάνης βδελύγματα, Μάρτυς χαρίτωσον.

Μεγίστων χαρίτων σε, ὁ προειδώς σου τὴν μέλλουσαν, ἠξίωσε Κύριος Δαμιανὲ ἀρετὴν, ἐν φρονήματι, κοσμήσας γηραλαίῳ, ἀκμήν σου, ἀνδρείᾳ δὲ, Μάρτυς τὸ φρόνημα.

Νεότης μὲν κόσμιος, τῆς βιοτῆς σου ἀοίδιμε, καὶ ἅπας ὁ χρόνος δὲ τῆς παροικίας τῆς σῆς, καθαρότητι φαιδρῶς ἠγλαϊσμένος, ἐν λόγοις, καὶ πράξεσιν ὄντως ἐνδέδεικται.

Ὁ δίαυλος βίου σου, Δαμιανὲ ἄρτι ἤνυσται, καὶ πέρας μὲν εἴληφεν ἡ πρὸς καιρὸν βιοτή. ἀλλ᾽ ἡ δόξα σου, ἀεὶ διαιωνίζει, τοὺς πόθῳ τιμῶντάς σε καταφαιδρύνουσαν.

Θεοτοκίον.

Ναὸς χρηματίσασα, σὺ τῆς θεότητος πάναγνε, καὶ θεῖον παλάτιον τῷ Βασιλεῖ τοῦ παντὸς, καταγώγιον, κἀμὲ θείας ἀκτῖνος, ἀπέργασαι δέσποινα ὅπως γεραίρω σε.

Ἀλ-

Ἄλλος. Ἦχος, πλ. δ΄. οὗ ἡ ἀκροστ. Νέον σοι ᾄδω ᾆσμα μάρτυς τῷ νέῳ. Διονύσιος. ὁ εἱρμός.

Ἁρματηλάτην φαραώ.

Νεανικῶς ἐνοπλισθεὶς τῆς πίστεως, τῇ πανταλχίᾳ ζυγὸν, τὸν τοῦ Χριστοῦ μάκαρ, σῶν ἐπ' ὤμων εἴληφας, καὶ μελετήσας ἕπεσθαι, ἀκλινῶς μάρτυς τούτῳ, τραχεῖαν εἶλου πορεύεσθαι, τρίβον τὴν στενὴν δι' ἀσκήσεως.

Ἐφιεμένῳ μοι τοὺς σοὺς, ἐν ᾄσμασι, σεπτοὺς ἀγῶνας κροτεῖν, καὶ τὸν θερμὸν ζῆλον, ὃν ἐκτήσω Ὅσιε, τῆς ἐναρέτου πράξεως, ἣν, φυγὼν τὰ ἐν Κόσμῳ, τρανῶς ἀνύσας διέπρεψας, χάριν μοι ἐν λόγοις κατάπεμψον.

Ὁ ἐμβατεύων τὰς καρδίας Ὅσιε, καὶ ὁ ἐτάζων νεφροὺς, σοῦ προειδὼς Πάτερ, ἐν ἀσκήσει εὔτονον, καὶ καρτερὸν τὸ φρόνημα, μεταναστῆναι γενέσθαι, σὲ τῆς πατρίδος ἐπέσκηψεν. Ἄθωνα σπουδῇ οὖν κατάλαβες.

Νομοθετοῦντα Βαπτιστὰ μετάνοιαν, τῶν ἀπειθῶν τοῖς λαοῖς, καὶ τὰς ὁδοὺς μάκαρ, ἑτοιμάζειν πείθοντα, τὰς τοῦ Κυρίου Πρόδρομε, σὲ ἀκούσας ὁ μάρτυς, ταῦτα ζηλῶν σε ἐκήρυττεν, ἄρτι ὁ σὴν σοὶ ἀφημούμενος.

Θεοτοκίον.

Ὡς ἀσυγκρίτως καθαρὸν ὑπάρξασα, κόρη δοχεῖον Χριστοῦ, τοῦ νοητοῦ μύρου, τὴν ψυχήν μου μύρισον, ταῖς δυσωδίαις ὄζουσαν, ὡς ἑλκῶν τῶν πταισμάτων, ἁμαρτιῶν μου τὴν ἄβυσσον, πλήθει οἰκτιρμῶν σου ξηράνασαν.

Καταβασίαι, οἷαι ἂν τύχωσι. ᾠδὴ, γ΄. ὁ εἱρμός.

Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου Χριστὲ ὁ Θεὸς, ὁ ἐφ' ὑδάτων οὐρανὸν, στερεώσας τὸ δεύ-

τερον,



τερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι, τὴν γῆν παντοδύναμε.

Τροπάριον.

Δεδοξασμένον, καὶ ὑπέρλαμπρον, τοῦ Ἡλίου ὄχημα τοῦ νοητοῦ, οὗσα ζοφώσεις τοῦ νοὸς, καὶ καρδίας ἡμῶν δίωξον, πάσης κόρη ἀδοξίας τε, ἡμᾶς ἐλευθέρωσον.

Ἐν ἀπορίαις, καὶ ἐν θλίψεσι, νῦν συμφερομένοις βοήθει ἡμῖν, πλὴν σοῦ γὰρ ἄλλην ἐν δεινοῖς, Παναγία ἀντίληψιν, καὶ προστάτην οὐ κεκτήμεθα, ἐν σοὶ γὰρ καυχώμεθα.

Ἄλλος. Ὁ Εἱρμὸς, Τοὺς σοὺς ὑμνολόγους.

Νοός σου λαμπρότητι ἐπέβης, τῷ ὕψει τῆς θείας καλλονῆς, καὶ ταύτης τὸ ἀμήχανον, Δαμιανὲ κατώπτευσας, ἧς καὶ τρωθεὶς τῷ ἔρωτι, Μαρτύρων δόξης ἠξίωσαι.

Ἐρήμους ψυχὰς κεχερσωμένας, νεώσας ἀρότρῳ τῇ σεπτῇ, γλώσσῃ σου ἐγκατέβαλες, Δαμιανὲ τὸν γνήσιον, σῖτον αἱμάτων ῥείθροις δὲ, ἀρδεύσας τοῦτον ἐξέθρεψας.

Ὁ νοῦς σου ἐκ παίδων ἐφικέσθαι, κρειττόνων, καὶ θείων ἀθλητὰ, ποθήσας ἀναβάσεων, βιωτικὰς ἀπώσατο, μερίμνας θείᾳ χάριτι, ἐν Ὄρει Ἄθω ἐκπέμψας σε.

Θεοτοκίον.

Νεφέλην τὸν ὄμβρον, ὁ Προφήτης, τὸν θεῖον βαστάζουσαν ἁγνὴ, πάλαι σε προεώρακεν, ἐν ἐπιγνώσει ἄρδοντα, τὴν οἰκουμένην ταύτης οὖν, πλουτεῖν με τοῦτον ἱκέτευε.

Ἄλλος. Ὁ Εἱρμὸς, Οὐρανίας ἁψῖδος.

Σὲ ἀνθρώπων ὁ δεσπότης, Δαμιανὲ σκήνωμα ἔνθεον, καὶ σεπτὸν δοχεῖον, χαρίτων ἔμπλεον ᾤκησεν,

ἐν

ἐν σοὶ ποιήσας μονὴν, μετὰ πατρὸς, καὶ τοῦ θείου σοι τὴν χάριν μένοντος Ἁγίου Πνεύματος.

Ὁλικῶς ἠλογήσω, τῶν γεηρῶν ὅσιε, καὶ πρὸς τὰ ἀγήρω πτερώσας σοῦ τὴν διάνοιαν, τῆς ἀκηράτου τρυφῆς, ἐπιποθῶν τε γενέσθαι, ἐν μεθέξει ἐπείσας, χεῖρον τῷ κρείττονι.

Ἰσχνώσας τὴν σάρκα, ὡς ἐφικτὸν Ὅσιε, ἐν σκληραγωγίᾳ ἁπάσῃ ὤφθης ἀνάπλεως, τῆς θείας αἴγλης πασῶν, τῶν ἀρετῶν δὲ ἰδέαις, τὴν ψυχὴν ἐφαίδρυνας, καὶ κατεκάλλυνας.

Ἀπαλῶν ἐξ ὀνύχων, τοῦ Βαπτιστοῦ ἴχνεσιν, ἀκολουθῶν ὤφθης, ἐν πᾶσι τούτου ὁμόζηλος, μετανοεῖτε βοῶν, Δαμιανὲ σὺν Προδρόμῳ, δυσχερῶν λυτρώσασθε ὑμᾶς τοὺς μέλποντας.

Θεοτοκίον.

Δουλωθέντα Παρθένε, τοῖς πονηροῖς δαίμοσι, καὶ κακοῖς πολίταις προσκολληθέντα με, καὶ χοίρους βόσκοντα δὲ, καὶ τὴν ψυχὴν κεκτημένον, μοχθηρῶς λιμώττουσαν, τούτων ἀπάλλαξον.

Κάθισ. ἦχος, πλ. δ'. Τὸ προσταχθὲν Μυστικῶς.

Ἐγκαρτερῶν ταῖς προσευχαῖς Θεῷ ὡμίλεις, ἀσκητικῶς Δαμιανὲ σαρκὸς τὰ πάθη, ἀπενέκρωσας ὄντως Χριστοῦ τῇ δυνάμει, ὀλέσας τὸν ἀλαζόνα Πάτερ ἐχθρὸν, ἐμπρέψας ἐν πολιτείᾳ μοναδικῇ, ἣν ὁσίως διήνυσας, ἀγείρας ποίμνην τῷ Χριστῷ, τὴν μάνδραν σου περιέσωζε, σὲ τιμῶσαν οὖν ἄτρωτον.

Δίς.

Εὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν ἁγνὴ, καὶ προσκυνοῦμεν. ἀνυμνοῦντες τὸν τόκον σου, κεχαριτωμένη, βοῶντες ἀκαταπαύστως, σῶσον ἡμᾶς, Παρθένε παντελέημον, ὡς ἀγαθὴ, καὶ

δαι-



δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Ὠδὴ, δ'. Εἱρμός.

„Ἐπήρθη ὁ Ἥλιος, καὶ ἡ Σελήνη, ἔστη ἐν τῇ τάξει „αὐτῆς, ὑψώθης μακρόθυμε, ἐπὶ τοῦ ξύλου, καὶ „ἔπηξας ἐν αὐτῷ τὴν Ἐκκλησίαν σου. Θεοτοκίον.

Ἡ φύσασα ἄνικμος Ἀαρὼν ῥάβδος, μήτραν προετύπου τὴν σὴν, ἀσπόρως κυήσασαν, καὶ ὑπὲρ λόγον· παράδοξα οὖν, τὰ σὰ ὄντως ἀπείρανδρε.

Θεὸς ἐνανθρώπησεν ἐκ σοῦ Παρθένε, καὶ τὴν τοῦ Ἀδὰμ συμπαθῶς ἐγείρας ἀνέπλασε, φύσιν πεσοῦσαν. πεσόντας οὖν ἐν κακοῖς, καὶ ἡμᾶς ἔγειρον.

Ἱλέωσαι Δέσποινα σοῦ τὸν ἐκ σπλάγχνων, ἐν τῷ μέλλειν κρῖναι ἡμᾶς, καὶ ῥῦσαι παφλάζοντος, πυρὸς γεέννης, τοὺς δούλους σου, ταῖς μητρικαῖς σου παρακλήσεσι. Ἄλλος. Ὁ Εἱρμός.

„Ὁ Καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀ„κηράτῳ παλάμῃ καὶ διέσωσε, τοὺς κραυγάζοντας, δό„ξα Χριστὲ τῇ δυνάμει σου. Τροπάριον.

Μυροθήκη ἀνεδείχθη, ἡ καρδία σου ἄφθονος, καὶ ἐκ ταύτης πᾶσι, πάτερ ἀληθῶς τὰ διδάγματα, ἀναπηγάζων ὡς μύρα εὐωδίασας, τοὺς κραυγάζοντας, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἀσκητῶν, καὶ ἀθλοφόρων, ἑκατέρως ὁμόζηλος, χρηματίσας Μάρτυς, τούτων ἐναργῶς τὰ ἐπίπονα, ἐν ἀμφοτέροις γενναίως καθυπήνεγκας, ἐν τῷ κράζειν σε, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ῥωμαλέως σὺ δυνάστην, ἐξηλέγξω κελεύοντα, τοὺς κυνωνύμους, Μάρτυς ἡμερῶν μὴ ἐργάζε-

θαι, τοὺς ἀσεβεῖς μὴ διδάσκειν σε, καὶ ᾔσχυνας, Χριστῷ πείθεσθαι, μᾶλλον εἰπὼν δεῖ, ἢ ἄρχουσι.

Θεοτοκίον.

Τὴν ἀπείρανδρον Μητέρα, τοῦ ἀμήτορος Δέσποινα, ἐκ Πατρὸς ἀνάρχως, Λόγου, καὶ Θεοῦ, σὲ γεραίροντας, καὶ Θεοτόκον Κυρίως ὀνομάζοντας, ὑπεράγαθε σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Ἄλλος. Ὁ Εἱρμός. Σύ μου ἰσχὺς Κύριε.

Ὡς γεγονὼς Πνεύματος, πλήρης ἀοίδιμε, τοῦ Ἁγίου, ὄντως ἐνδιαίτημα, σὺ τοῦ φωτὸς, πάσας δαδουχεῖς, τὰς ἐν τῇ Λαρίσσῃ, προτρέπων εἰς τὴν μετάνοιαν, δραμεῖν κώμας, καὶ χώρας, καὶ βοᾶν ἀναπείθων, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἀκηκοὼς ἄνωθεν, Πάτερ καλούσης σε, φωνῆς θείας, δεῦρο κελευούσης σοι, ἐρημικὸν βίον σὺ λοιπὸν, πρὸς τοὺς ἀδελφοὺς σου, πορεύου ἐπισκεψόμενος, ὑπείξας τῇ κελεύσει, ὡς θεόθεν κληθέντα, σὲ οὖν κήρυκα, πάντες γεραίρομεν.

Σεμνοπρεπῶς ὅσιε, πολιτευσάμενος, ἐπὶ πᾶσιν, ὤφθης σεμνολόγημα, σοῖς ὀπαδοῖς, πόνοις καρτερῶν, καὶ σκληραγωγίαις, κατ᾽ ἄμφω πάτερ μιμούμενος, ἀθλήσει τε, καὶ βίῳ, Ἰωάννην τὸν πάνυ, ὃν γεραίροντες πόθῳ τιμῶμέν σε.

Θεοτοκίον.

Νόμον ἡμῶν ἔγνωκε, φύσις Μητέρα σε, καὶ παρθένον, ἅμα ἀπειρόγαμον, καὶ γαλουχὸν, θαῦμα ἀληθῶς, πάντων ὑπερέχον, θαυμάτων μόνη τιμώμενον, σιγῇ κόρη καὶ πίστει, προσκυνούμενον ὄντως, Θεοτόκον διό σε κηρύττομεν.

Ὠδὴ ε΄.

„Τὴν σὴν εἰρήνην δὸς ἡμῖν υἱὲ τοῦ Θεοῦ, ἄλλον γὰρ

„ἐκτός



„ἐκτός σου Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά σου ὀνομά„ζομεν, ὅτι Θεὸς ζώντων, καὶ τῶν νεκρῶν ὑπάρχεις.

Κακῶν ἡμᾶς ἀπάλλαξον, κυκλούντων ἀεὶ, μόνη τῶν καλῶν ὡς τεκοῦσα τὸν αἴτιον, δεήσεσί σου ἀναμίξουσα, τοῦτον ἡμῖν κόρη, Χριστιανῶν προστάτις.

Λοιμῶν ἀνθρώπων, καὶ δεινῶν παντοίων ἡμᾶς, καταπιεζόντων ἁγνὴ ἱκετεύομεν, τὴν κληρουχίαν σου ἐκλύτρωσαι. Χριστιανῶν σὺ γὰρ, καταφυγὴ ὑπάρχεις.

Ἡμεῖς, καὶ κλῆρος, ἅπαντες γεγόναμεν σὸς, ἄλλην γὰρ ἐκτός σου, ἐλπίδα οὐκ ἔχομεν, τῷ σῷ ὀνόματι πεποίθαμεν, μὴ οὖν αἰσχυνθῶμεν, ἐλέους ἐκπεσόντες.

Ἄλλος, Ὁ Εἱρμὸς, Ἐξέστη τὰ σύμπαντα.

Ὑπέκκαυμα γέγονε, φλογὸς τὸ θεῖον σκῆνός σου, Μάρτυς ὡς θυμίαμα ἀχθέν σοι, ὅλον εὐῶδες τῷ ἐπὶ πάντων θεῷ, τὸν τίμιον, ῥεῦμα δὲ σποδὸν, τοῦτο ὑπεδέξατο, καὶ θεὸς δὲ τὸ πνεῦμά σου.

Ῥεόντων τὰ μένοντα, ἤλλαξας, καὶ ἀκήρατα, οἷα μεγαλέμπορος ἐχέφρων, κόσμον μισήσας, καὶ τὰ ἐν κόσμῳ τερπνὰ, διδάσκων δὲ Εὐαγγελικῶς, Μάρτυς διετέλεσας περιὼν τὰ σωτήρια.

Ἰδὼν ὁ ἀρχέκακος, πολέμιος σὲ ἄγοντα, Μάρτυς πλημμελούντων θεοσόφοις, σαῖς ὑποθήκαις, ἐν μετανοίᾳ πληθὺν, μαινόμενος φθόνον κατὰ σοῦ, πάντα συντέλεσεν, ἀλλ᾽ ᾐσχύνθη ὁ δείλαιος.

Θεοτοκίον.

Τὸ ξένον ὑφ᾽ Ἥλιον, Ἀγγέλοις τε παράδοξον, σὺ εἶ ἀπειρόγαμε παρθένε, ἔσχες γὰρ τοῦτον, τὸν ποιητὴν καὶ Θεὸν, καὶ τέτοκας θεῖον ἱλασμὸν, κόρη τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

 Ἀλ-

ΙΟΣ ΒΙΒΛ… ΙΣΤΟΡΗΣ ΠΑΠ…

Ἄλλος. Ὁ Εἱρμός. Ἵνα τί με ἀπώσω.

Ἅπας τόπος, καὶ χώρα, ἡ πατρὶς Μυριχόβου ὁμοῦ καὶ Λάρισσα, πανηγύρεώς τε προεξάρχουσα τούτων ἡ ποίμνη σου, ἡ ἐν τῷ Κισσόβῳ, Πάτερ στησάμενοι χορείαν, σὲ κροτοῦντες ἐν ὕμνοις γεραίρομεν.

Μίαν ὄντως ποθήσας, διαγωγὴν Ὅσιε, ταύτην ἐζήτησας, ἐν ναῷ Κυρίου, παρεδρεύειν, καὶ τούτου τὸ ἄρρητον, καὶ τερπνὸν θεᾶσθαι, κάλλος μονὴν ἐν τῷ Κισσόβῳ, ὁπαδοὺς σοι δειμάμενος ἤθροισας.

Ἆρας ὄμματα κύκλῳ, τέκνα τὰ σὰ θέασαι, τὴν σὴν πανάσημον, συνελθόντα μνήμην, καὶ τὸν Πρόδρομον ἅμα τὸν μέγιστον, ἀνυμνολογῆσαι, ἐν τῷ σεπτῷ αὐτοῦ τεμενεῖ, καὶ ἐξ ὕψους ἡμᾶς ἐπισκέψασθε.

Θεοτοκίον.

Ἐν σοὶ ῥήσεις Παρθένε, προφητῶν εἰλήφασι τὸ πέρας ἄχραντε, τὸ γὰρ τούτων τέλος, σοῦ θεώμεθα οὖσαν τὴν κύησιν, ὑπὲρ ἔννοιάν σε, καινοπρεπῶς καὶ ὑπὲρ φύσιν, ἀπειράνδρως θηλάσασαν βλέποντες.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„ Τὸν προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ, τὴν ζωήν μου ἀγαθὲ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με, σωτὴρ τοῦ κόσμου ὡς παντοδύναμος.

Νόων θείων καλλονὴ, καὶ ἁγίων χαρμονὴ, μητροπάρθενε ἁγνὴ, ὡς ὑπάρχουσα χαρᾶς, ἀξίωσον, τοὺς θεοτόκον ὁμολογοῦντάς σε.

Ξένον θαῦμα τὸ ἐν σοὶ, πῶς Παρθένε ἐν χερσὶν, ὑπὲρ νοῦν καινοπρεπῶς, υἱὸν φέρῃς μητρικῶς, τεράστιος, ὁ τρόπος ὄντως τῆς παρθενίας σου.

Οἱ πεσόντες τῆς τιμῆς, τῆς ἀρχαίας διὰ σοῦ, ἐπανήλθομεν σεμνὴ, πρὸς ἀξίωμα τὸ πρὶν, φαιδρότεροι, Δαμιανός σοι κράζει ἡμᾶς οἴκτειρον.

Ἄλ-



Ἄλλος. Ὁ Εἱρμός. Τὴν θείαν ταύτην.

Ὡς ἔστης Μάρτυς πρὸ βήματος, θωπείαις τοῦ τυράννου σε θέλγοντος, ὅλως ἀνένδοτος, πεῖρα βασάνων ἐδέχετο, Χριστοῦ οὐδὲν βοῶντα δεινὸν χωρίσει με.

Ναὸν ἀθροίσας μονάζοντας, ἐγείρεις ἱερὸν παναοίδιμε, αὐτὸς δὲ σπήλαιον, ᾤκεις ἰδίᾳ πτερούμενος, φίλτρῳ Χριστοῦ πρὸς βίον, ὄντως μακάριον.

Ἐμμεμονότα σε ὁ δόλιος, τῷ φίλτρῳ τοῦ δεσπότου θεώμενος, Χριστοῦ ἀκλόνητον, ψῆφον πυρὸς, καὶ ἀγχόνης σοι, ἐπενεγκών σε Μάρτυς, λαμπρῶς ἐδόξασε.

Θεοτοκίον.

Ὡραῖον κεῖνόν σε χάρισιν, εὐῶδες Παρθενίας, καὶ πάντερπνον, λόγος εὑράμενος, κόρη τὸ πᾶν εὐωδίασεν, ὁ τοῦ Θεοῦ, κατ᾽ ἐμὲ ἐκ σοῦ γενόμενος.

Ἄλλος. Ὁ Εἱρμός. Ἱλάσθητί μοι.

Ῥιχόβου Δαμιανὸν, Ἑλλάς τε δεῦτε, καὶ Κίσσοβος, ἡ πάνσεπτός τε μονὴ, ἡ τούτου, καὶ Λάρισσα, φαιδρὰν συγκροτήσαντες, τὴν χορείαν ἅμα, εὐφημήσωμεν τὸν φέριστον.

Τὰς χώρας περινοστῶν, Δαμιανὲ ἀνεκήρυττες, μετανοεῖτε βοῶν, καὶ ἄγων εἰς αἴσθησιν, τοὺς ἀνθρώπους Ὅσιε, τοὺς ἐν ἀνομίαις, ὑπ᾽ ἀνόμων ἁλοὺς ἤθλησας.

Ὑπὸ ἀνόμων ληφθεὶς, καὶ παραστὰς τῷ δικάζοντι, ὁμολογῶν τε Χριστὸν, τρανῶς καθυπήνεγκας, αἰκισμοὺς καὶ μάστιγας, καὶ τὸ πῦρ ἀνδρείως, τοῦ Χριστοῦ ἐνδυναμοῦντός σε.

Σεπτὸν ἐγείρας σηκὸν, τῆς μετανοίας τοῦ κήρυκος, μετανοεῖτε βοᾶν, οὐ παύῃ μιμούμενος, τὸν

ἐκεῖ-

ἐκείνου Ὅσιε, φιλόφρονα ζῆλον, μεθ' οὗ σῶζε τοὺς τιμῶντάς σε.

**Θεοτοκίον.**

Ἡλίου ἀνατολή, δικαιοσύνης ὑπάρξασα, καὶ πύλη ἡ τῆς Ἐδέμ, τὰς πύλας ἀνοίξασα, φωτί με καταύγασον, τὸν ἐσκοτισμένον, ἐν αὐτῇ με εἰσοικήσασα.

**Εἶτα τὸ Κοντάκιον. Ἦχος πλ. δ'.**

**Τῇ Ὑπερμάχῳ.**

Τὸν τῆς Ἑλλάδος, Μοναστῶν τὸν ἀκριβέστατον, καὶ Θετταλίας ἀθλητὴν ὄντως στεῤῥότατον, εὐκλεέστατον τὸ βλάστημα Μυρίχοβου, καὶ Κισσόβου δὲ τὸ κλέος, καὶ ἀγλάϊσμα. Εὐφημοῦντές σε ψυχῆς ἐν ἀγαλλιάσει, καὶ γεραίροντες, χαίροις Πάτερ σοι κράζομεν.

**Ὁ Οἶκος. Ἄγγελος πρωτοστάτης.**

Ἔνθερμον ἐγκρατείας, ζῆλον ἔχων παμμάκαρ, λιπὼν τὰ ἐν τῷ κόσμῳ, τὸ σχῆμα τὸ σεπτὸν, ἐνεδύσω σπουδῇ, ἀκριβῶς ἀσκήσας ἀρετὴν ἅπασαν, ἀθλήσαντα γενναίως δὲ, ὁρῶντες σοι βοῶμεν οὕτω.

Χαίροις στεῤῥῶς τὰ φθαρτὰ μισήσας,
Χαίροις, ἀνθ' ὧν τὰ ἑστῶτα ποθήσας,
Χαίροις πρὸς ἀγῶνας τραπεὶς τῆς ἀσκήσεως,
Χαίροις ἀλγηδόνας ὑποστὰς καὶ ἀθλήσεως,
Χαίροις πλῆθος πολυάριθμον καταστρέψας δυσσεβῶν,
Χαίροις στῖφος πολυσύνθετον ἐκνικήσας πειρασμῶν,
Χαίροις ὅτι ἐγένου μοναστῶν ποδηγέτης,
Χαίροις ὅτι ὑπῆρξας καὶ πολλῶν εὐεργέτης.
Χαίροις φωστὴρ ὁσίων ὁμόζηλε,
Χαίροις ἀστὴρ αὐγάζων πολύφωτε,
Χαίροις δι' οὗ ἀπηλέγχθη ἡ πλάνη,

Χαί-

…ΙΟΣ ΒΙΒΛΙΟΘ… …ΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ…



Χαίροις δι' οὗ Χριστὸς ἀνεφάνη,
Χαίροις Πάτερ σοὶ κράζοντες.

**Τῷ αὐτῷ Μηνὶ ιδ'. ἡ ἄθλησις τοῦ ἐν Ἁγίοις Ὁσιομάρτυρος Δαμιανοῦ, τοῦ Νέου, τοῦ καὶ κτήτορος τῆς κατὰ τὸν ἐν Δημητριάδι Κίσσοβον σεβασμίας μονῆς, τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου.**

Στίχ. Ὡς ἀγχόνη ζῆν ἐκκοπεῖσα ἠξίου,
Στίχ. Χριστοῦ λάτριν φλέγουσι παῖδες τῆς Ἄγαρ,
Στίχ. Ἔρωτι θείῳ πρὶν ψυχὴν πεφλεγμένον.
Στίχ. Δαμιανὸν δεκάτῃ, φλέξαν πῦρ εἷλε τετάρτῃ.

**Ἕτεροι.**

Στίχ. Δαμιανὸς γ' ἄλκιμος ὢν φερωνύμως,
Στίχ. Δάμασε σαρκὸς τὰ πάθη ῥωμαλέως.
Στίχ. Δάμνησι δ' ἄρα, καὶ φάλαγκας δαιμόνων,
Στίχ. Ἀχθεὶς δὲ εἶκε πυρὶ Χριστῷ θυσία.

Οὗτος ὁ Ὅσιος Μεγαλομάρτυς τοῦ Χριστοῦ Δαμιανὸς ὑπῆρχε κατὰ τὸ ͵αφξη'. ἔτος. ἐκ τῆς δευτέρας τῶν Θετταλῶν ἐπαρχίας ὁρμώμενος, ἐκ κώμης Μυρίχοβον ὀνομαζομένης, Πατέρων εὐσεβῶν μὲν, ἄλλως δὲ λιτῶς τὸν βίον διαγόντων. οὗτος οὖν ἔτι νέαν ἄγων τὴν ἡλικίαν, τὸν μονήρη βίον ἐπόθησε, καὶ τὴν θρεψαμένην καταλιπὼν, ἧ ποδῶν εἶχε τάχος, τὸ ἁγιώνυμον ὄρος τὸν Ἄθωνα φημὶ κατέλαβε. καὶ εἰς ἓν τῶν Μοναστηρίων, ὃ τοῦ Φιλοθέου ὀνομάζεται, παραγενόμενος, τὴν κόμην ἐκάρη τὸ τῶν Μοναχῶν ἀμφιασάμενος σχῆμα. χρόνῳ δὲ μικρῷ τῇ μονῇ ταύτῃ προσκαρτερήσας, τῇ μοναδικῇ πολιτείᾳ προέκοπτεν. εἶτα μείζονος ἀρετῆς ἐφιέμενος κατέλιπε τὴν μονὴν, καὶ πρός τινα τῶν κατὰ μόνας ἀσκουμένων σημειοφόρον ἄνδρα, ᾧ Δομέτιος τοὔνομα ἀφίκετο. μεθ'

οὐ χρόνους τρεῖς, μικροῦ δέοντος, νηστείᾳ, καὶ ἀγρυπνίαις, καὶ τῇ λοιπῇ σκληραγωγίᾳ τρυχόμενος διετέλεσε. τοσοῦτον δὲ ἐπέδωκεν ἑαυτὸν τῇ ἀρετῇ, ὥστε καὶ φωνῆς θείας ἀκοῦσαι, λεγούσης αὐτῷ, Δαμιανὲ, οὐ μόνον τὸ ἑαυτοῦ δεῖ σε ζητεῖν, ἀλλὰ καὶ τὸ τῶν ἑτέρων, κατὰ τὸν θεῖον Ἀπόστολον. τοιαύτης φωνῆς ἀξιωθεὶς, κατέλαβε τὴν Θετταλίαν, τὴν ἔρημον καταλιπὼν, καὶ εἰς τὰ τοῦ Ὀλύμπου τέμπη παραγενόμενος, ταῖς ἐκεῖ χώραις ἐκήρυττε λαμπρᾷ τῇ φωνῇ, τὸ μετανοεῖτε. πολλοὺς δὲ πρὸς θείας ὁδοὺς πορεύεσθαι, καὶ τῶν ἀδικιῶν ἀπέχεσθαι παρώτρυνεν. ἀλλ᾽ ὁ ἀρχέκακος, καὶ μισόκαλος διάβολος, μὴ δυνάμενος ὁρᾷν τὸ καλὸν, ἐπὶ τὸ κρεῖττον προβαίνειν, τῶν ἀγαρηνῶν τινας, καὶ τῶν πιστῶν οὐκ ὀλίγους, διήγειρε κατ᾽ αὐτοῦ, πλάνον, καὶ ἀπατεῶνα τοῦτον ἀποκαλοῦντας, καὶ εἰ δυνατὸν ἦν φονεῦσαι ζητοῦντας. οὗτος δὲ ὡς Χριστομίμητος, καταλιπὼν τὰς ἐκεῖ κώμας ἀνεχώρησε, καὶ εἰς τὰ μέρη τοῦ Κισσόβου, καὶ τῆς Λαρίσσης παρεγένετο. μετὰ μικρὸν δὲ κἀκεῖθεν ἀπάρας, τὰς διαβολὰς τῶν τῆς ἀληθείας ἐχθρῶν φεύγων, καὶ τὴν εἰρήνην ζητῶν, τὰ τῶν Ἀγράφων ὄρη κατέλαβε. καὶ πάσας τὰς ἐκεῖ κώμας διδάξας, τοὺς ἐν αὐταῖς οἰκοῦντας Χριστιανοὺς εἰς τὴν ὀρθὴν πίστιν ἐστήριξεν. ἀλλ᾽ ἐπεὶ κἀκεῖ πλάνος, καὶ ψευδομόναχος ὠνομάσθη παρά τινων, καταλιπὼν καὶ ταύτας τὰς κώμας διὰ τὸ ἀτάραχον, εἰς τὸν Κίσσοβον πάλιν ἐπανῆλθεν, ἐν ᾧ Μοναστήριον οἰκοδομήσας μικρὸν τιμώμενον τῆς ἀποτομῆς τοῦ τιμίου Προδρόμου πλησίον κατὰ τὴν χώραν Σαλήτζιανην. καὶ ὀλίγους τῶν μοναχῶν συναθροίσας· τῷ Θεῷ μετ᾽ αὐτῶν τὰς συνήθεις εὐχὰς ἀνέπεμπε καθ᾽

ἑκά-



ἑκάστην μὲν, ἰδίᾳ δ᾽ αὐτὸς ᾤκει μικρὸν ἀπὸ τῆς μονῆς, πρὸς νότον, ἔν τινι σπηλαίῳ παρὰ τῷ παραῤῥέοντι χειμάῤῥῳ ὑπὸ τὸν ἐκεῖ κρημνὸν, τοὺς καθ᾽ ἑαυτὸν ἀγῶνας ἐν τούτῳ ἀνύων. πολλοὶ δὲ κἀκεῖσε εἰς τὴν τούτου συνέτρεχον ζήτησιν, νουνεχὴς γὰρ ὢν ἐτύγχανεν ὁ ἀνὴρ, καὶ χαρίσμασι θείοις κεκοσμημένος. διά τινα δὲ χρείαν, μᾶλλον δὲ τῆς τῶν Χριστιανῶν ὠφελείας ἕνεκα τῆς μονῆς ἐξελθὼν, καὶ εἴς τινα κώμην παραγενόμενος, ἥτις Βουλγαρινὴ ὀνομάζεται, ἐκρατήθη παρά τινων ἀγαρηνῶν· οἳ τῷ τῆς Λαρίσσης Ἄρχοντι ἀπαγαγόντες αὐτὸν παρέδωκαν. ὃς καὶ ἐρωτήσας αὐτὸν τίς; καὶ πόθεν εἴη; καὶ τίνος χάριν τὰς κώμας περιέρχεται, τοὺς Χριστιανοὺς, μὴ πρίασθαι, ἢ πωλεῖν τι ἐν κυριακῇ διδάσκων; μικρὸν δὲ σιγήσαντος τοῦ Ἄρχοντος τὴν ἀπόκρισιν ἐκδεχομένου, ὁ Ἅγιος πρὸς ὠφέλειαν, μᾶλλον δὲ σωτηρίαν τῶν Χριστιανῶν ταῦτα ποιεῖν ἀπεκρίνατο. ταῦτα ἀκούσας ὁ Ἄρχων τῇ εἱρκτῇ τοῦτον ῥιφῆναι προσέταξε, τύψας πρῶτον σφοδρῶς, ἁλύσεις τε βαρείας τῷ τραχήλῳ καὶ τοῖς ποσὶ τούτου περιθείς. ὃς ἡμέρας δεκαπέντε, καὶ μικρόν τι πρὸς, ἐν τῇ φυλακῇ ἐκαρτέρησεν ἄρτου βραχὺ, καὶ ὕδατος, μετὰ δευτέραν, ἢ τρίτην ἡμέραν, παρά τινος τῶν ἀπίστων δεχόμενος, καὶ πληγὰς καθ᾽ ἑκάστην πλείους τῶν ἑκατὸν, καθ᾽ ὅλου τοῦ σώματος προστάξει τοῦ Ἄρχοντος λαμβάνων. καὶ ἀναγκαζόμενος ἀρνήσασθαι τὸν Χριστὸν οὐκ ἐπείθη, ἀλλὰ τῇ ὀρθῇ τῶν Χριστιανῶν πίστει μεγαλοφώνως ἐμμένειν ἐκραύγαζε γενναίως πάντα ὑποφέρων. ὁ Ἄρχων δὲ, καὶ αὖθις ἔμπροσθεν αὐτοῦ παραστῆναι ἐκέλευσεν αὐτὸν, ὃς ἐρωτήσας αὐτὸν παραστάντα, ὡς καὶ πρότερον, καὶ ἰδὼν τοῦτον ἀκλινῶς τῆς τῶν Χριστια-



νῶν

μὴν πίστεως ἀντεχόμενον, κολακεύειν ἐπεχείρει, τιμάς τε, καὶ δωρεὰς παντοίας δοῦναι αὐτῷ ὑπισχνούμενος, εἰ τὸν Χριστὸν θελήσειεν ἀρνήσασθαι, καὶ τῇ τούτου θρησκείᾳ τῇ τῶν ἀγαρηνῶν φημὶ προσελθεῖν. ὁ δὲ τοῦ Χριστοῦ Μάρτυς, μή μοι γένοιτο εἰπὼν, τὸν Χριστὸν, καὶ Θεόν μου ἀρνηθῆναι, ἀλλὰ καὶ πῦρ, καὶ ἀγχόνην, καὶ πᾶσαν ἄλλην βάσανον ἑτοίμως ἔχω δέξασθαι, ἢ ἀρνηθῆναι τὸν Κύριόν μου, καὶ πλάστην μου. ἰδὼν οὖν ὁ Ἄρχων τοῦτον, ἀμεταστρέπτως τῇ Χριστοῦ πίστει ἐμμένοντα, τῇ ἀγχόνῃ πρῶτον, εἶτα τῷ πυρὶ παραδοθῆναι ἐκέλευσε. καὶ δὴ λαβόντες αὐτὸν οἱ δήμιοι, καὶ εἰς ὃν τόπον τοὺς καταδίκους φονεύειν εἰώθασιν, ἀπαγαγόντες, ἐκρέμασαν. εἷς δὲ τῶν παρεστώτων δημίων, πελέκει τὸν Ἅγιον κατὰ τὸ μετάφρενον κρούσας, καὶ τὸ καλῴδιον μεθ᾽ οὗ ἀπηώρητο, κόψας, εἰς γῆν κατήγαγεν αὐτὸν ἔτι ἐμπνέοντα. οἱ δὲ λοιποὶ τῶν ἀσεβῶν ὡς εἶδον αὐτὸν ζῶντα, πυρκαϊὰν μεγάλην ἀνάψαντες, κατὰ τὸν τοῦ Ἄρχοντος λόγον, μετὰ σπουδῆς μέσον ἔθεικαν, καὶ τελείως κατέκαυσαν. εἶτα συνάξαντες τὴν αἰθάλην, τῷ παραῤῥέοντι ποταμῷ, ᾧ Πηνθὸς ὄνομα, ἐναπέῤῥιψαν. καὶ οὕτω τὸν τοῦ Μαρτυρίου Στέφανον, ὃν ἐπόθησεν εἴληφε παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ, ὑπὲρ οὗ στεῤῥῶς ἤθλησεν. οὗ ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς, καὶ ἡμᾶς ἐλευθέρωσον, τῶν ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ, ζ. Ὁ Εἱρμός.

» Σὲ νοητὴν Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πι-
» στοὶ, ὡς γὰρ παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυ-
» ψούμενος ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου
» ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς, καὶ
» ὑπερένδοξος.



Πενὴς μὲν νοῦς, καὶ ἐν λόγοις ἄπορος, ἐῤῥυπωμένα δὲ ἁγνὴ, καὶ τὰ χείλη κέκτημαι. σοῦ, ὅμως τὰ τεράστια, πόθῳ ἀνυμνοῦντά με, μὴ ὑπερίδῃς, καὶ λέγοντα, εὐλογημένη Παρθένε ἀεὶ καὶ ὑπερένδοξος.

Ῥῆσις ἰδοὺ, ἣν προέφης πάναγνε, τὸ πέρας εἴληφε φυλαὶ, τῶν ἀνθρώπων ἅπασαι, νῦν, σὲ γὰρ μακαρίζουσι, λύτρωσιν εὑράμεναι, καὶ χαρμοσύνως γεραίρουσι, τὴν αἰνετὴν σὲ Παρθένον ἀεὶ, καὶ ὑπερένδοξον.

Σὲ καθαρὸν, Θεοτόκε σκήνωμα, ὁ τοῦ Θεοῦ Υἱὸς εὑρὼν, ὡς παστάδα ᾤκησε, σὴν, μηδὴν οὖν πρεσβείαις σου, οἴκους ἡμᾶς ποίησον, κεκαθαρμένους τοῦ τόκου σου. τὴν αἰνετὴν σὲ ὑμνοῦντας ἁγνὴν, καὶ ὑπερένδοξον.

Ἄλλος. Ὁ Εἱρμός. Οὐκ ἐλάτρευσαν.

Φαιδρυνέσθω, νῦν, ἡ Λάρισσα, καὶ Κίσσοβος, νῦν γὰρ εὐφρόσυνος, ἡμῖν φαιδρὰ Ἑορτὴ, ἡμέρα χαρμόσυνος σήμερον πάρεστι, τῆς Ἀθλήσεως, Δαμιανοῦ τοῦ Μάρτυρος, τὸν Θεὸν ὑμνολογοῦντες.

Ἐκμιμούμενος, τὸν Κύριον ἐξενύδες, ἐπερχομένων σοι, δεινῶν, παρὰ πονηρῶν, ἀνδρῶν ἀμειβόμενος τόπον ἐκ τόπου δὲ, ἀνεκραύγαζες, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός σοι.

Ῥωμαλέως, αἰκιζόμενος ὠμότητι. τὸ σεπτὸν σῶμά σου, πολλῶν ἐπὶ ἡμερῶν, τροφῆς τε στερούμενος, χαίρων ὑπέμεινας, παναοίδιμε. Δαμιανὲ σὲ Κύριον, εὐλογῶν τὸν συντηροῦντα.

Θεοτοκίον.

Ὡρμημένη, Ἰεσσαὶ ἐκ ῥίζης πάναγνε, κόρη ἐβλάστησας, καρπὸν, τὸν σὸν πλαστουργὸν, ἀσπόρως, ἐκτρέφοντα νάματι ἅπαντας, τοὺς κραυγάζοντας, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Ὁ Εἱρμός. Θεοῦ συγκατάβασιν.

Τρυφῆς ἐφιέμενος τῆς ἀκράτου, Ὁσιομάρτυς τροφῆς, ἀλγεινῶν τε βασάνων, καὶ τῆς ἀγχόνης, καὶ τοῦ παμφάγου πυρὸς, ὀλιγωρήσας, καὶ σώματος ἔψαλλες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠμῶς ἐταζόμενος, τὸ σῶμα φλέγῃ, Δαμιανὲ ἀφειδῶς, ὥσπερ πίων θυσία, Θεῷ εὐώδης τετελεσμένος ἐλθὼν, διὰ πυρός τε καὶ ὕδατος ἔψαλλες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ναόν σοι δειμάμενος, σεπτὸν ὁ Μάρτυς Δαμιανὸς τοῦ Χριστοῦ, παρέθετο Προφῆτα, ὃν περιέπων, τοὺς ἐν αὐτῷ σε ἡμᾶς, δεινῶν ὑμνοῦντας, ἐκλύτρωσαι ψάλλοντας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Τοῦ βίου ὁ κλύδων με, ἁγνὴ ταράττει, καὶ παθῶν αὔραις σφοδρῶς, ὑψούμενος ποντίζει, βυθοῦ εἰς χάος, ἡ τετοκυῖα παντὸς, τὸν κυβερνήτην, διάσωσον ψάλλοντα, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„ Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαὶ,
„ ὡς κτίστην, καὶ Κύριον, ὑμνεῖτε Ἱερεῖς, δο-
„ ξάσατε παῖδες, εὐλογεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε
„ εἰς πάντας τοὺς αἰῶνας.

Τρο-



Τροπάριον.

Τὴν ποίμνην σου δέσποινα, οἰκτεῖραι συμπαθῶς, καὶ σῶσαι ἐκ θλίψεων, παντοίων πειρασμῶν, ἱκέτευε Μῆτερ, τὸν Υἱόν σου ἀεὶ, τὴν σὲ εὐλογοῦσαν, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπέρφωτε θάλαμε, ἀνύμφευτε ἁγνὴ, ἡμᾶς τοὺς τιμῶντάς σε, δυσώπησον τυχεῖν, φωτὸς ἀνεσπέρου, καὶ νυμφῶνος Χριστοῦ, τοῦ ἐκ σοῦ παρθένε ἐκλάμψαντος ἀφράστως.

Φθορὰν καταργήσασα, τοῦ γένους τῶν βροτῶν, ὡς μόνη τὸν πάροχον τεκοῦσα τῆς ζωῆς. ἐξάλειψον πάθη, ψυχοφθόρα ἡμῶν, τῶν ὑπερυψούντων σε κόρη, εἰς αἰῶνας.

Ἄλλος. Ὁ Εἱρμός. Παῖδας εὐαγεῖς.

Δεῦτε Θετταλῶν, καὶ τῆς Λαρίσσης, τὰ στίφη τῶν εὐσεβούντων συγκροτήσατε, σήμερον χαρμόσυνον, θίασον τῷ Μάρτυρι, Δαμιανῷ, καὶ ᾄσμασι φαιδρῶς ἐξάρξατε, τὸν τοῦτον, στεφανώσαντα ὕμνοις, ἀνυμνολογοῦντες, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἴνδαλμα σεπτὸν, σὺ τοῦ Προδρόμου, καὶ κήρυξ τῆς μετανοίας ἐσχημάτισας, ὄντως ἠρετήσω γὰρ, τούτου τὸ πολίτευμα, Δαμιανὲ εἰς οἴκησιν ποθήσας ἔρημον, καὶ λόγοις τε, καὶ πράξεις, καὶ τέλος, τὸ μετανοεῖτε, ἐκείνου, ἀνακράζων.

Ὄρθρου ἐγερθεὶς Μάρτυς ἐκ νέων, ἀμπέλου πρὸς ἐργασίαν ἐκπεπόρευσαι, θείων ἐντολῶν Χριστοῦ, ᾧ καὶ γλεύκους στάζοντας, ταύτης τοὺς βότρυς ἤγαγες, ζωῆς, τὸν βίον σου, δηνάριον λαβὼν ἀντὶ τούτου, τὰς ἀνεκλαλήτους, καὶ θείας ἀντιδόσεις.

Θεοτοκίον.

Νέον ὑπὸ χρόνον γεγονότα, παρθένε, τὸν τῶν αἰώνων ὄντα Κύριον, φέρουσα ὡς νήπιον, τὸν

τον

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΝΤΟΡΗΣ ΠΑΠΑ

τὸν ταῖς ὠλέναις σου, ὑπὸ μαζὸν, τὸν ἅπασαν, πηλὸν ἐκτρέφοντα, ἐν πταίσμασι μυρίοις φθαρέντας, καὶ ἡμᾶς δυσώπει, καινίσαι φιλανθρώπως.

Ἄλλος. Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.

Ἔνδον Ἐδὲμ γενόμενος, καὶ τοῦ ξύλου τῆς γνώσεως, Ὅσιε μετέχων, καὶ φωτὸς πληρούμενος, τῷ θρόνῳ παρίστασαι, ἔνθα χορὸς ὁσίων Χριστοῦ, καὶ τῶν ἀθλητῶν ἡ στρατιὰ ἀναμέλπων. οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς.

Ὢ ἀσεβείας τόλμημα, εἰ καὶ τέφραν τοῦ Μάρτυρος, οἱ Ἰσμαηλῖται, ποταμοῦ τοῖς ῥεύμασι, στεροῦντες τῆς χάριτος, ἡμᾶς διδοῦσι μένει ἡμῖν, ἀλλ' ὁ ἀθλητὴς, ἁγιασμὸν οὐρανόθεν, βοῶσιν ἀνενδότως, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Μνήμη δικαίων ἔφησε, Σολομῶν ὁ θαυμάσιος, μετ' ἐγκωμίων, χαρμοσύνως ἄγεσθαι, εὐφραίνου, ἑόρταζε, πᾶσα Κισσόβου χώρα φαιδρῶς, σὺν τῷ ἀθλητῇ, τὸν Βαπτιστὴν τοῦ Κυρίου, ὑμνοῦσα, καὶ βοῶσα, ἐν τῇ μνήμῃ τῇ τούτου, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Τὰς ἐπιθέσεις δέσποινα, τῶν μισούντων ματαίωσον, ἐπιούσας μάτην, καθ' ἡμῶν τῶν δούλων σου, τὴν ζάλην κοπάσασα, τῶν ἀκαθέκτων ἡμῶν παθῶν, ὡς τὸν συμπαθῆ, καὶ δυνατὸν ἐν ἰσχύϊ, τεκοῦσα μελῳδούντων, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Ὁ Εἱρμός.

„ Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον, τὴν φω-
„ τοφόρον λυχνίαν τῆς χάριτος, τὸν Ναὸν

„ τὸν



„ τὸν ἔμψυχον, τοῦ Οὐρανοῦ, καὶ τῆς γῆς τὴν
„ πλατυτέραν, τὴν Θεοτόκον οἱ πιστοὶ μεγαλύ-
„ νομεν.

Χρεωστικῶς σε ἁγνὴ οἱ ἱκέται σου, ἀνευφημοῦμεν τὴν δόξαν γεραίροντες, ἐν τῇ μνήμῃ σήμερον, τῇ σεπτῇ σῆς χάριτος, Δαμιανοῦ, διὰ σοῦ καὶ γὰρ ἐστέφθη, πλάνην ἐλέγξας, καὶ Χριστὸν μεγαλύνομεν.

Ψυχαγωγία πιστῶν καὶ παράκλησις, ἐν ἀμηχάνοις τελοῦσι τοῖς δούλοις σου, χαλεποῖς συμπτώμασι, καὶ δεινοῖς παθήμασι, καὶ συμφοραῖς, ἀπαλλαγὴ, καὶ σωτηρία, γοῦν Παρθένε, σὲ σεπτῶς μεγαλύνουσι.

Ὡραιοτέρα ὡς οὖσα τῆς κτίσεως, καὶ λαμπροτέρα Ἀγγέλων Πανάχραντε, ἀρεταῖς ὡραΐσον, καὶ ἡμᾶς, καὶ λάμπρυνον, τῶν σῶν βολαῖς θείων χαρίτων, τοὺς σοὶ τὸν ὕμνον εὐλαβῶς ἀναγράψαντας.

Ἄλλος. Ὁ Εἱρμός. Ἅπας γηγενής.

Ὕδωρ τὴν σεπτὴν, σοῦ κόνιν ἐδέχετο, τυράννου δόγματι, Πνεῦμα δὲ τὸ τίμιον, τῷ κάλλει λάμπον ὑψίστων Ἄγγελοι, Δαμιανὲ ἀοίδιμε, ἀγαλλιώμενοι, καὶ σκιρτῶντες, ἔσω εἰς σκηνώματα, καὶ Μονὰς Οὐρανίους προέπεμπον.

Σοῦ τῆς πρὸς Χριστὸν, πορείας, τοὺς ἄγοντας σεπτὸν μνημόσυνον, καὶ ἀνευφημοῦντάς σε, αἰσίως πλεῦσαι βίου τὸ πέλαγος, Δαμιανὲ, καὶ ζάλης δὲ, τὸ πολυτάραχον, ὑπερβῆναι, τούτου, τῷ Δεσπότῃ σου, ἐν τυγχάνων ἡμᾶς καθικέτευε.

Ἵμα δυσμενοῦς, κρατοῦντος ὀλέτειρα ἡμῶν κατάθραυσον, τοῖς ὀρθοδόξοις δὲ, εἰρήνην, κράτος, Μάρτυς καὶ ἄφεσιν, ἁμαρτιῶν πρυτάνευσον, ταῖς

σαῖς

σαῖς δεήσεσιν, ἐτησίως, σοῦ τὴν ἀξιάγαστον, σεπτὴν μνήμην φαιδρῶς ἑορτάζουσι.

Θεοτοκίον.

Ὄρος σε σεπτόν, καὶ πύλην, καὶ τράπεζαν, καὶ ῥάβδον, στάμνον τε, πόκον, καὶ νεφέλην δέ, καὶ πλάκα θείαν, τόμον, καὶ κλίμακα, οἱ θεηγόροι ἤμεσαν κατονομάζοντες, πολυτρόπως, κόρη ὑπερύμνητε, τῆς σῆς δόξης τὴν αἴγλην θεώμενοι.

Ἄλλος. Ὁ Εἱρμός. Ἔφριξε πᾶσα ἀκοή.

Ὕψωσον κέρας τῶν πιστῶν, ταῖς δεήσεσι ταῖς σαῖς, καὶ κατάβαλε, θράσος πολέμιον, φρυαττομένων κατὰ τῶν δούλων σου, Δαμιανὲ ποίμνην τὴν σήν, τοῖς βέλεσιν ἄτρωτον, ἐχθροῦ φυλάττεσθαι, ἱκετεύων, σὲ προστάτην πλουτήσασαν.

Σήμερον δεῦτε ἑορτήν, οἱ φιλέορτοι, φαιδρὰν συγκροτήσαντες, σεπτῶς ὑμνήσωμεν, Χριστοῦ τὸν μέγαν Μύστην, καὶ Πρόδρομον, ἐν τῷ σεπτῷ αὐτοῦ Ναῷ, τιμῶντες τὸν Ὅσιον, μεθ' οὗ, καὶ Μάρτυρα, ὡς ὁμότροπον αὐτοῦ χρηματίσαντα.

Ἴθι, καὶ στῆθι μεθ' ἡμῶν, τῆς σῆς ποίμνης τῆς σεπτῶς εὐφημούσης σε, Πάτερ, καὶ πρύτανις γενοῦ οἰκέταις τοῖς σοῖς πρὸς Κύριον, ἀπολαβεῖν τὰς τῶν ἀγαθῶν, αἰτήσεις, καὶ σώζεσθαι, τῶν περιστάσεων, τοὺς ἐν ὕμνοις εὐλαβῶς σε γεραίροντας.

Ὅλον σὺ ὥσπερ τῷ Χριστῷ. Ἱερεῖον, καὶ εὐῶδες θυμίαμα, σαυτὸν προσήγαγες, σῶμα μὲν τήκων πόνοις ἀσκήσεως· τὴν δὲ ψυχὴν ἐν ὀχετοῖς, δακρύων ἄρδων ἀνενδότως, καὶ Μάρτυς γέγονας, ἀριστεύσας ἑκατέρωθεν Ὅσιε. Θεοτοκίον.

Σὲ τὴν ἐκ ῥίζης Ἰεσσαί, προελθοῦσαν, καὶ ἀφθόρως βλαστήσασαν Χριστὸν τὴν λύτρωσιν, ἡμῶν εἰδό-



εἰδότες μόνην ἀνάκλησιν, καὶ εὐλογίας ἀπαρχήν, εἰκότως γεραίρομεν, πρώτην, καὶ ὕστατον, καὶ τὴν μέσην ἐν ᾠδαῖς τάξιν νέμοντες.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλ.

Δαμιανὸς ὁ φέριστος, ἀσκήσει, καὶ ἀθλήσει, νεοφανὴς ἐφέστηκε, σήμερον ἑστιάτωρ, πιστοὺς καλέσας τὰ στίφη, ἅπαντα ἐν εὐσήμῳ, τῇ μνήμῃ αὐτοῦ πάντερπνον, συγκροτῶν πανδαισίαν, πνευματικῆς εὐωχίας, ἅπασι τῶν ἀγώνων, αὐτοῦ, δεῦτε συνέλθωμεν, ἀνυμνοῦντες οὖν τοῦτον. Θεοτοκίον.

Δέσποινα πάντων ἄνασσα, πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας, μὴ σατὰν ἡμᾶς λάβῃ, μὴ ᾅδης, μὴ ἀπώλεια, βήματι τοῦ Υἱοῦ σου, τῷ φοβερῷ, ἀνευθύνους πάντας δὲ παραστῆναι, ὦ θεομῆτορ δέσποινα, ὅσα θέλεις ἀνύεις.

Εἰς τοὺς αἴνους ἱστῶμεν. Στ. δ'. ἦχος, δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Διανοίας λαμπρότητι, κατοπτεύσας τὸ ἄστατον, γεηρῶν πανεύφημε, τὰ χαμαίζηλα, πάντα ἀπώσω ὡς σκύβαλα, τὰ ὄντως δὲ μένοντα, καὶ τὰ κρείττονα φθορᾶς, κατενόησας Ὅσιε, ὅθεν ἔσπευσας, τῶν φθαρτῶν ἀνταλλάξαι τὰ ἑστῶτα, ὧν ἀσκήσει καρτερήσας, καὶ τῇ ἀθλήσει ἠξίωσαι.

Ὅμοιον.

Ἐταμῶς σε τυπτόμενον, καὶ εἱρκτῇ συγκλειόμενον, καὶ σειραῖς πεδούμενον, ἀναρτώμενον, Μάρτυς ἀγχόνῃ τε βλέποντες, οἱ τύραννοι φέροντα, τὰς βασάνους καρτερῶς, ἐξεπλήττοντο Ὅσιε, σοῦ ἡττώμενοι. διελθὼν δὲ δι' ὕδατος πυρός τε, τοὺς στεφάνους ἀνεδήσω, ὡς ἀριστεύσας λαμπρότατα.

F Ὅμοιον.

Ὅμοιον.

Ὁ Ὁσίοις ὁμόζηλος, ἀθληταῖς τε ὁμότροπος, ἀριστεὺς ὁ φέριστος, ὁ κατ᾽ ἄμφω νῦν, πᾶσαν Ἑλλάδα προτρέπεται, δραμεῖν εἰς ἑστίασιν, τῶν ἀγώνων τῶν αὐτοῦ, Δαμιανὸς οὗ τὴν πάνσεπτον, μνήμην ἅπαντες, ἐν ᾠδαῖς συνελθόντες εὐφημοῦμεν. διὰ τοῦτο τὴν ἐξ ὕψους, χάριν αἰτοῦντες, καὶ ἔλεος.

Νοητῶς σὺ ἑνούμενος, τῇ Τριάδι, τῷ Πνεύματι, ἀθλητὰ ἀοίδιμε, τὴν ἀπάθειαν, πάσης ὑλώδους ἐφέσεως, ἐκτήσω γενόμενος ἔξω Κόσμου, καὶ σαρκός. ἀστραπαῖς δὲ πυρσούμενος, ταύτης Λάρισσαν φαεινῶς, καταυγάζεις καὶ Ἑλλάδα, ταῖς ἐνθέοις φρυκτωρίαις, τρανῶς κηρύττων μετάνοιαν.

Δόξα. Ἦχος, πλ. δ΄.

Τίς ἐξισχύσειε τοὺς σεπτοὺς ἀγῶνας, πολύτλα Δαμιανὲ Ὁσιομάρτυς, οὓς ὑπὲρ Χριστοῦ ἔτλης, κατ᾽ ἀξίαν εὐφημῆσαι; ἢ τίς δύναμις λόγων, τὸ μέγεθος τῶν ἄθλων σου πρεπόντως ἐξυμνήσειε; τοὺς αἰκισμούς, τὰς ὕβρεις, τὰς μαστιγώσεις, τὴν εἱρκτήν, τοὺς κλοιούς, τὰς σειράς, τῶν τυράννων τὴν ὠμότητα, τὴν ἀγχόνην, τὸν ὑπὲρ Χριστοῦ διὰ πυρὸς μακάριον θάνατον; ὅν, τὸ κατὰ φύσιν ἀνδρείως βιασάμενος, ὑπὲρ φύσιν γενναίως καθυπήνεγκας. ὑπὲρ ἄνθρωπον ὄντως τὰ σὰ παλαίσματα, καὶ Ἀγγέλων φύσιν ἄϋλον ἐκπλήττοντα. ἀλλ᾽ ἡμῶν τὸ ἐφύμνιον τοῦτο, ἐξ ἀναξίων μὲν χειλέων, καὶ ἀθερμοῦς διανοίας, ἀλλ᾽ εὐλαβῶς, καὶ μετὰ πόθου σοι προσφερόμενον ἀποδέχου, πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν πίστει, καὶ πόθῳ τελούντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ



Καὶ νῦν.

Δέσποινα πρόσδεξαι. Καὶ εἰ μὲν ἔστι τεσσαρακοστή, ὅρα τὸ Τυπικὸν τῶν Ἁγίων Τεσσαράκοντα. Εἰ δ᾽ ἔξω τῆς Τεσσαρακοστῆς φθάσει, Δοξολογία Μεγάλη. Μακαρισμοὶ ἀπὸ τοῦ κανόνος, Ὠδὴ, γ΄. τὸν δ΄. καὶ Ὠδὴ, ς΄. τὸν πλ. δ΄. Ἀπόστολον δὲ, καὶ Εὐαγγέλιον, ζήτει εἰς Ὁσιομάρτυρα. Κοινωνικόν. Εἰς μνημόσυνον. τέλος τῆς τοῦ Ἁγίου Ἀσματικῆς ἁπάσης Ἀκολουθίας. τῷ δὲ Θεῷ χάρις.

Ἀθλητὰ γλώττης, ἐξ ἀναξίου πλέον,
Νοῦ τ᾽ ἀγόνου μὲν, ἀπόρου δὲ καρδίης,
Ἦ ὡς θέμις σοι, Δαμιαν᾽ ἀλλ᾽ ἐκ πόθου,
Εἰλικρινοῦς οὐχ ἧττον, ἢ δέον δέχου,
Πόνον μικρόν μοι, τόνδε Διονυσίου,
Σώζοις ὃν εὐχαῖς, σαῖς τὰ δ᾽ ἀκταῖα μένοις.



ΚΑ-

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ.

## Πρὸς τὸν τίμιον Πρόδρομον,

Ψαλλόμενος ἐπὶ ἀθεμοῦντας, ἢ ϗ ἄλλως εἰς περιπετείας, ϗ συμφορὰς τελοῦντας. Ποιηθεὶς παρὰ Διονυσίου Ἱερομονάχου τοῦ Παππαδοπούλου. μετὰ τὸ Κύριε εἰσάκουσον, τὸ, Θεὸς Κύριος.

Εἶτα Τροπάριον. ἦχος δ'.
Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῆς μετανοίας γενόμενος θεῖος κήρυξ, μετανοοῦντα ἐκ ψυχῆς Ἰωάννη, ἐπίσκεψαί με Πρόδρομε πανένδοξε, ὅπως ἀποθέμενος ἁμαρτίας τὸ βάρος, χαίρων ἐποφθήσωμαι τῷ κριτῇ τῶν ἁπάντων. ϗ διὰ σοῦ γεέννης, καὶ πυρὸς, ϗ αἰωνίου ῥυσθῶ κατακρίσεως.

Δόξα, ϗ νῦν.

Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε. Εἶτα ὁ ν'. ϗ ὁ Κανών. Οὗ ἡ ἀκροστιχὶς, Βαπτιστὰ Χριστοῦ, παῦσον ἡμῶν τοὺς πόνους.

Ἦχος πλ. δ'.
Ἁρματηλάτην Φαραώ.

Βεβαπτισμένον ἐν πελάγει Πρόδρομε, βιωτικῶν συμφορῶν, ἀνομιῶν φόρτῳ, χαλεπῷ, τὸν δοῦλόν σου, τῶν οἰκτιρμῶν τὴν ἄβυσσον ὁ Βαπτίσας Προφῆτα, ἱκεσιῶν σου τοῖς οἴαξι, πρὸς γαλήνης ὅρμον κυβέρνησον.

Ἀνο-



Ἀνομιῶν οἱ καταιγίδες πνέουσαι, βίου Πραγμάτων σφοδρᾷ, τὸ πενιχρὸν σκάφος, ἐμβολῇ κατέκλυσαν, ἐπαγωγαῖς τῶν θλίψεων, Βαπτιστὰ δυσωπῶ σε, ἐσμὸν κακῶν με ποντίζοντα, λύσας ἐκ βυθοῦ με ἀνάγαγε.

Πιεζομένῳ μοι κακῶν τῷ τάλανι, ἐπιφοραῖς χαλεπῶν, ὡς παροργηκότι, τοῦ Θεοῦ τὸ ἄσπλαγχνον, ἐπενεχθεῖσαι μάστιγες νοσεραί με ὤθουσιν, εἰς χοῦν τὸν δείλαιον πρόφθασον, πρόδρομε Κυρίου, ϗ σῶσόν με.

Θεοτοκίον.

Τῆς ἀσπλαγχνίας τὴν μεγάλην ἄβυσσον, τῶν οἰκτιρμῶν τὴν πηγὴν, σωματικῶς Κόρη, ὡς τεκοῦσα δέομαι, θεοκυῆτορ βλῦσόν μοι, θεραπείας τὸ ῥεῖθρον, σβεννύον καύσωνα θλίψεων, ϗ σαρκὸς ὀδύνας ἰώμενον.

Ὁ Εἱρμός. Οὐρανίας ἁψῖδος.

Ἱκετεύω ὁ τάλας, τῆς παλαιᾶς ὄντα σε, ϗ καινῆς μεσίτην, καινίσας παλαιωθέντα με, ἐν ἀνομίαις πολλαῖς, καὶ ἐκλυτρώσασθαι πλήθει, Βαπτιστὰ τῶν θλίψεων, πολιορκούμενον.

Σὲ τοῦ λόγου τὸν μύστην, τὸν προφητῶν μείζονα, ὄντως τὸν Ἡλίου, αἰτοῦμαι πρόδρομον λύχνον ὄντα, τοῦ ἀπροσίτου φωτὸς, τὸ στυγερὸν, ϗ ζοφῶδες, τοῦ ἀθλίου βίου μου λύσας καταύγασον.

Τῆς χαρᾶς ὁ προκήρυξ, ϗ χαρμονῆς Ἄγγελος, ὁ τοῖς ἀθυμοῦσι κηρύξας τὴν ἀνεκλάλητον, χαρὰν προφῆτα Χριστοῦ, εἰς χαρμονὴν τὸ στυγνάζον, τῆς χαρᾶς ἐπώνυμε, τρέψον τοῦ δούλου σου.

Θεοτοκίον.

Ἀθυμίαι, ϗ ζάλαι βιωτικαὶ Δέσποινα, τὸν τῆς παναθλίας ψυχῆς μου οἶκον ἐσάλευσαν, καὶ

καταπατῶσαι αὐτὸν, ἐπαπειλοῦσί μοι τέλος, τῆς ζωῆς ἡ πρόξενος σπεῦσον βοήθει μοι.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου πρόδρομε τοῦ Κυρίου, ὅτι πάντες μετὰ Θεὸν, πρὸς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος, καὶ προστασίαν.

Ἐπίβλεψον ἐν. Καὶ μνημονεύει ὁ Ἱερεύς. Εἶτα τὸ Κοντάκιον. Εὐσπλαγχνίας ὑπάρχουσα.

Εὐσπλαγχνίας τὴν ἄφθονον πηγὴν, Ἰορδάνου κατέδυσας ῥοαῖς, Ἰωάννη. ὅθεν ἱκετεύω σε, θλίψεων πελάγει χειμαζόμενον, καὶ δεινῶς τούτων τῷ κλύδωνι ποντούμενον, γαληνῆς με πρὸς ὅρμον χειραγώγησον.

Ὁ Εἱρμός. Σύ μου ἰσχὺς Κύριε.

Χάριτος ὢν πρόδρομε, κήρυξ σεμνώτατος, δώρησαί μοι μάκαρ δεομένῳ σου, χαροποιὰν χάριν δαψιλῶς, ὅπως διαρρήξας, τὸν σάκκον τῆς ἀθυμίας μου, χαρᾶς, καὶ εὐφροσύνης ἐνδυθεὶς τὸν χιτῶνα, τῶν θαυμάτων τὴν χάριν γεραίρω σου.

Ῥῦσαί με δεινὸς θλίψεων, ῥῦσαι παραπτώσεων, καὶ κινδύνων ζάλαι περιέχουσι, λαῖλαψ σφοδρὸς, τὸ ἐλεεινὸν, Βαπτιστὰ Κυρίου, ποντίσαι βίου μου λείψανον, ἐγείρεται δεσπότην, ἀλλ᾽ ὁ λύσας ζωῆς τε, καὶ θανάτου με τούτων ἀπάλλαξον.

Ἴδε κακῶν Πρόδρομε, σμῆνος συνέχει με, καὶ λυποῦσι συμφοραὶ τὸν δοῦλόν σου, καὶ δυσμενῶν, ὥσπερ ἀτελὲς, βρόχοις κινδύνων, στρουθίον οἴμοι εἰλίσσεσθαι. τῇ σκέπῃ σου οὖν τρέχω, καὶ στενάζων αἰτοῦμαι, ἀντιλήψεως χεῖρά μοι ὄρεξον. Θτ.

Σῶσόν με νῦν πάναγνε, σῶσόν με Δέσποινα, σωτηρίας κόρη με ἀξίωσον, καὶ γὰρ πυκνὰ νέφη δυσχερῶν, κατεκάλυψάν με, χειμῶνά μοι ἐπιφέροντα,



τα, ἀθρόον ἀλγηδόνων, δυσωπῶ σε παρθένε, ἡ παγκόσμιον ζάλην κοπάσασα.

Ὠδὴ, ε΄. Ἵνα τί με ἀπώσω.

Τέλος φρίττω ὁ τάλας, τὸ ζωῆς μου Πρόδρομε παρὸν, καὶ δέδοικα, τοῦ κριτοῦ τὸ βῆμα, τὸ ἀδέκαστον, πάσης ὑπέραντλος, γεγονὼς κακίας. ἀλλ᾽ ἱκέτευσον τῆς τῇδε, καὶ μελλούσης βασάνου με λύτρωσαι.

Οἴμοι ὤζεσαν σφόδρα, τῆς σαρκὸς οἱ μώλωπες, καὶ κατεσάπησαν, καὶ κατέκαμψάν με, ψαλμικῶς ἀφροσύνης αἱ μάστιγες, ἐταλαιπωρήθην, ὦ Βαπτιστὰ, καὶ μέχρι τέλους, ἀλλ᾽ ἀντίληψιν δός μοι σωτήριον.

Ὕδωρ ἕως ψυχῆς μου, κατωδύνων θλίψεων προφῆτα ἔφθασεν, καὶ βυθοῦ ἰλύϊ, ψαλμικῶς ἐνεπάγην ὁ δείλαιος, τῶν πειρατηρίων, καί μοι ὑπόστασις οὐκ ἔστιν, ἡ δ᾽ ἐλπίς μου, ἀεὶ ἐκ σοῦ ἤρτηται.

Θεοτοκίον.

Πόνοι θλίψεις ὀδύναι, καὶ ἐχθρῶν ἐπήρειαι καταπιέζουσι, καταστρύχοντά με, καὶ εἰς ᾅδου σχεδόν με καθέλκοντα, ἀλλ᾽ ἀπεγνωσμένον, ἀπηλπισμένων ἡ τεκοῦσα, τὴν ἀνάρρυσιν σῶσόν με δέσποινα.

Ὠδὴ, ς΄. Τὴν δέησιν ἐκχεῶ.

Ἀβίωτον, τοῦ λοιποῦ τῷ τάλανι, τὴν ζωὴν, καὶ πονηρὰς τὰς ἡμέρας, αἱ τῶν δεινῶν προσβολαί μοι ποιοῦσι, καὶ τῇ ἀθλίᾳ σαρκί μου ἀφόρητα, τὰ ἄλγη. ἀλλ᾽ ὦ Βαπτιστὰ, ἐπὶ σοὶ πεποιθὼς οὐκ ἀπέγνωσμαι.

Ὑπόπλεων, στεναγμῶν ὁ ἄθλιος, τὸ σαρκίον, καὶ ὀδύνης τὸν βίον, ἔχων μεστὸν, Βαπτιστὰ, καὶ ψυχὴν δὲ, καταγομένην εἰς ᾅδου ἀπώλειαν, προσέρχομαί σοι δυσωπῶν, συνοχῆς πονηρῶν με ἀπάλλαξον.

Συ-

Συνέρραξε, τοῦ ἐχθροῦ ἡ δύναμις, ἐπ' ἐμὲ καταπιέζουσα πᾶσα, καὶ πολεμεῖ χαλεπῶς τὴν ζωήν μου, φρυαττομένη ὀλέσαι τὸν τάλανα, ὦ κήρυξ τῆς αὐτοζωῆς, τούτου θραῦσον τὰ βέλη, καὶ ἐνέδρας.

Θεοτοκίον.

Ὁλόσωμον, καὶ ψυχῇ, καὶ σώματι, τὴν πληγὴν ὁ δυσμενής μοι ἐπάγει, ἐκτὸς δεινῶν ἐπιθέσεσι πλήττων, ἐντὸς δὲ λύπαις παντοίαις, αἰκίζων με, τὸ τούτου θράσος, ἀλλ' ἁγνή, ὥσπερ πάλαι, καὶ ἄρτι κατάβαλε.

Διάσωσον ἀπὸ κινδύνων.

Ἄχραντε ἡ διὰ λόγου.

Εἶτα ὁ Ἱερεὺς, μνημονεύει.

Εἶτα τὸ Κοντάκιον.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος.

Προκείμ. Καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ.

Στ. Εὐλογητὸς ὁ Θεὸς τοῦ Ἰσραήλ. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ, τὰ ἔργα τοῦ Ἰησοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ, σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε, καὶ βλέπετε. τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται, καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου. τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱ-

μα-



ματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλείων εἰσίν. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν, μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. ὁ δὲ μικρότερος, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν. ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. πάντες γὰρ οἱ προφῆται καὶ ὁ Νόμος ἕως Ἰωάννου προεφήτευσαν, καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Δόξα. Ταῖς τοῦ σοῦ προδρόμου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός.

Προσόμοιον. Μὴ καταπιστεύσῃς με.

Δέησιν προσφέρω σοι, ὀδυνηρᾶς ἐκ καρδίας, πεποιθὼς ὁ δοῦλός σου, τῇ ταχείᾳ Πρόδρομε ἀντιλήψει σου. τῆς συνεχούσης με, σπεῦσον κακώσεως, ἐξέλου με καὶ τῶν θλίψεων, σῶσον ὀδύνης τε, καταπιεζούσης με ἅγιε, πάντων πειρατηρίων τε τῶν τοῦ πολεμίου με λύτρωσαι. οἶδά σε γὰρ οἶδα, δυνάμενον τὰ πάντα Βαπτιστά, ὡς Ἰορδάνου ἐβάπτισας, πάντα τὸν ἰσχύοντα. Μεταβολὴ τῶν θλιβομένων. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Ἐλέει, καὶ οἰκτιρμοῖς.

Ὠδὴ, ζ. Παῖδες Ἑβραίων.

Νᾶμά μοι βλῦσον Χριστοκήρυξ, τῇ σῇ χάριτι δροσίζον τὰς φλογώσεις, τῶν δεινῶν μου παθῶν,

καὶ

καὶ ὅπλα τὰ πυρφόρα, τὰ κατ' ἐμοῦ κατάσβεσον, τοῦ ἐχθροῦ, ἵνα ὑμνῶ σε.

Ἤρεμον βίον μοι προφῆτα, καὶ ἀτάραχον παράσχου σαῖς πρεσβείαις, τῶν μισούντων με δὲ ἀλώβητον συντήρει, καὶ τὰς αἰτήσεις πλήρωσον, σὲ θερμῶς καθικετεύω.

Μέρος, καὶ κλῆρος σὸς ὑπάρχω, μὴ παρίδῃς με ἐχθροῖς καταποθῆναι, Βαπτιστὰ τοῦ Χριστοῦ, ἀλλ' οἰκτειρον καὶ βλάβης, καὶ πειρασμῶν με φρούρησον, ἀβλαβῆ τὸν σὸν οἰκέτην.

Θεοτοκίον.

Ὢ πῶς παράκλησιν οὐκ ἔχω; περιστάσεσι τοῦ βίου, καὶ ἀνάγκαις, καὶ κακώσεσι δὲ ἀπώλωλα ὁ τάλας, ἀπαρακλήτων σῶσόν με, παραμύθιον Παρθένε.

Ὠδὴ, η΄. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Νηπιόθεν χαρὰν τῇ οἰκουμένῃ, προμηνύεις πατρὸς, τὴν γλωττοπέδην λύσας· τῶν ὀδυνῶν τὰς πέδας διὸ ῥῆξας μου, θλῖψιν εἰς χαράν μοι, Πρόδρομε μετάθες, Χριστοῦ, καὶ εὐφροσύνην.

Τῶν τεκόντων ὡς ὄνειδος ἠμείψω, σῇ γεννήσει φαιδρὰν, εἰς εὐφροσύνην οὕτω, τὸ κατηφὲς ἐν πόνοις τῆς καρδίας μου, ἄμειψον προφῆτα, τῇ σῇ ἐπισκέψει, εἰς εὔκρατόν μοι ἕξιν.

Ὀνομάζῃ προφῆτα τῷ δεσπότῃ, ὡς μεγίστων λαχὼν, διακονίαν μείζων, τῶν προφητῶν ἁπάντων, ὅθεν δέομαι, μείζονα ὡς ἔχων, χάριν, καὶ πλουσίως, τυχεῖν τῆς εὐποιΐας.

Θεοτοκίον.

Ὑπὲρ πάντας, ἡμάρτηκα ἀφρόνως, ἀθετήσας ἁγνὴ τοὺς θείους νόμους· ὅθεν, καὶ χαλεποῖς ἐντεῦθεν ἐταζόμενος, μάστιξι βοῶ σοι, τούτων ἐξελοῦ με Παρθένε μετανοοῦντα.





Ὠδὴ, θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Σωθείην ὁ τῇ σκέπῃ σου προσφυγὼν, τοῦ πικροῦ ναυαγίου τῶν θλίψεων, καὶ συμφορῶν, Πρόδρομε, Κυρίου καὶ Βαπτιστὰ, καὶ τῆς γαλήνης τύχοιμι, διὰ πρεσβειῶν σου τῆς ποθεινῆς, οὐδένα γὰρ γινώσκω, ἐν ταῖς περιπετείαις, ἄλλον ἐκτός σου ἀντιλήπτορα.

Παρείτω ἡ ἀντίληψις ἡ ἐκ σοῦ, ταχεινὴ, καὶ τὸ ἔλεος ἄφθονον, ὦ Βαπτιστὰ, ὅτι ἐβραγχίασε ψαλμικῶς, κράζων πρὸς σὲ ὁ λάρυγξ μου. σὲ ἐπικαλοῦμαι οὖν πεποιθὼς, ὁ τάλας διὰ πλῆθος πταισμάτων μου προφῆτα, ἐξαπολέσθαι μὴ παρόψει με.

Ὀδύνας τὰς ἐκθλίψεων Βαπτιστὰ, καὶ πληγὰς τὰς ἐκ νόσου, καὶ ἕλκη δὲ, τὰ τῆς ψυχῆς, πάντα ἐκ τοῦ δούλου σου χαλεπὸν, συμπαθεστάτῳ ἄνελε, οἴκτῳ ἱκετεύω ὁ ταπεινὸς, ἀπόρου ἀπὸ γλώττης, στενάζων ἐκ καρδίας, καὶ χαρμονῆς με δεῖξον ἔμπλεων.

Θεοτοκίον.

Νικήσαιτο πταισμάτων μου τὴν πληθὺν, εὐσπλαγχνίας τὸ ἄμετρον πέλαγος, σοῦ ἀγαθὴ, δέξαι δέ μου δέησιν πενιχρὰν, καὶ τὰς αἰτήσεις πλήρωσον, δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς, δεσπότου Θεοῦ μήτηρ, εἰ νεύσεις μικρὸν μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς.

Τὸν τῆς μετανοίας καθηγητὴν, καὶ τῶν μοναζόντων ἀντιλήπτορα, καὶ φρουρὸν, τὸν ἀπὸ κοιλίας μητρὸς ἡγιασμένον, τὸν πρόδρομον Κυρίου ὕμνοις τιμήσωμεν.

Μείζονα κριθέντα τῶν προφητῶν, σὲ τὸν τῆς ἐρήμου, μέγαν ὄντως καθηγητὴν, κήρυκα τὸν

θεῖον, καὶ Βαπτιστὴν Κυρίου, τὸν πρόδρομον τὸν μέγαν, ὕμνοις τιμήσωμεν.

Τὸν τοῦ Ζαχαρίου θεῖον βλαστόν, καὶ τῆς Ἐλισάβετ τὴν παγκόσμιον χαρμονήν, τὴν φωνὴν τοῦ λόγου, τὸν λύχνον τοῦ ἡλίου, τὸν Πρόδρομον Κυρίου, ὕμνοις τιμήσωμεν.

Πρόδρομε Κυρίου καὶ Βαπτιστά, λύχνε τοῦ ἡλίου, ἑωσφόρε φωταγωγέ, τὴν ἐσκοτισμένην τοῖς πάθεσι τοῦ βίου, ψυχήν μου τὴν ἀθλίαν, σὺ φωταγώγησον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία. Τὰ συνήθη Τροπάρια. καὶ τὸ παρὸν Τροπάριον, ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Φίλε παθημάτων κοινωνέ, Πρόδρομε Προφῆτα, καὶ μύστα, καὶ Βαπτιστὰ τοῦ Χριστοῦ, πάντων ἡμῶν μνήσθητι, τῶν σὲ τιμώντων πιστῶς, Ἰωάννη πανεύφημε, καὶ ῥῦσαι κινδύνων, πάσης περιστάσεως, ἐκ τῶν βελῶν τοῦ ἐχθροῦ, σώους καὶ ἀτρώτους φυλάττων, πάντας ταῖς πρεσβείαις σου ὅπως, σὲ χρεωστικῶς ἀεὶ δοξάζομεν.

Καὶ Ἀπόλυσις.

Τέλος τῆς τοῦ Προδρόμου παρακλήσεως. Τῷ δὲ Θεῷ δόξα καὶ κλέος.

Βαπτιστὰ κλῦθι, τῶν λιτῶν σου οἰκέτου,
Αἰτήσεως πέρας δέ, πλήρες οἷ δίδου.